eul_wid: daw-aa

Ἀριστοφάνης ὁ Ἀθηναῖος · Aristophanes of Athens

# Women at the Thesmophoria

## *Θεσμοφοριάζουσαι*

**Period:** *Κλασική* Classical
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

**ΚΗΔΕΣΤΗΣ**

1 Ὦ Ζεῦ, χελιδὼν ἆρά ποτε φανήσεται; Ἀπολεῖ μ' ἀλύων ἄνθρωπος ἐξ ἑωθινοῦ. Οἷόν τε, πρὶν τὸν σπλῆνα κομιδῇ μ' ἐκβαλεῖν, παρὰ σοῦ πυθέσθαι ποῖ μ' ἄγεις, ὦὐριπίδη;

**ΕΥΡΙΠΙΔΗΣ**

5 Ἀλλ' οὐκ ἀκούειν δεῖ σε πάνθ' ὅς' αὐτίκα ὄψει παρεστώς.

**ΚΗΔΕΣΤΗΣ**

6 Πῶς λέγεις; Αὖθις φράσον. Οὐ δεῖ μ' ἀκούειν;

**ΕΥΡΙΠΙΔΗΣ**

7 Οὐχ ἅ γ' ἂν μέλλῃς ὁρᾶν.

**ΚΗΔΕΣΤΗΣ**

7 Οὐδ' ἆρ' ὁρᾶν δεῖ μ';

**ΕΥΡΙΠΙΔΗΣ**

8 Οὐχ ἅ γ' ἂν ἀκούειν δέῃ.

**ΚΗΔΕΣΤΗΣ**

8 Πῶς μοι παραινεῖς; Δεξιῶς μέντοι λέγεις.
10 Οὐ φῂς σὺ χρῆναί μ' οὔτ' ἀκούειν οὔθ' ὁρᾶν;

**ΕΥΡΙΠΙΔΗΣ**

10 Χωρὶς γὰρ αὐτοῖν ἑκατέρου 'στὶν ἡ φύσις.

**ΚΗΔΕΣΤΗΣ**

10 Τοῦ μήτ' ἀκούειν μήθ' ὁρᾶν;

**ΕΥΡΙΠΙΔΗΣ**

12 Εὖ ἴσθ' ὅτι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΚΗΔΕΣΤΗΣ**

Πῶς χωρίς;

**ΕΥΡΙΠΙΔΗΣ**

Οὕτω ταῦτα διεκρίθη τότε. Αἰθὴρ γὰρ ὅτε τὰ πρῶτα διεχωρίζετο

καὶ ζῷ' ἐν αὑτῷ ξυνετέκνου κινούμενα, ᾧ μὲν βλέπειν χρὴ πρῶτ' ἐμηχανήσατο ὀφθαλμὸν ἀντίμιμον ἡλίου τροχῷ, ἀκοῇ δὲ χοάνην ὦτα διετετρήνατο.

**ΚΗΔΕΣΤΗΣ**

Διὰ τὴν χοάνην οὖν μήτ' ἀκούω μήθ' ὁρῶ;

Νὴ τὸν Δί' ἥδομαί γε τουτὶ προσμαθών. Οἷόν γέ πού 'στιν αἱ σοφαὶ ξυνουσίαι.

**ΕΥΡΙΠΙΔΗΣ**

Πόλλ' ἂν μάθοις τοιαῦτα παρ' ἐμοῦ.

**ΚΗΔΕΣΤΗΣ**

Πῶς ἂν οὖν πρὸς τοῖς ἀγαθοῖς τούτοισιν ἐξεύροιμ' ὅπως ἔτι προσμάθοιμι χωλὸς εἶναι τὼ σκέλει;

**ΕΥΡΙΠΙΔΗΣ**

Βάδιζε δευρὶ καὶ πρόσεχε τὸν νοῦν.

**ΚΗΔΕΣΤΗΣ**

Ἰδού.

**ΕΥΡΙΠΙΔΗΣ**

Ὁρᾷς τὸ θύριον τοῦτο;

**ΚΗΔΕΣΤΗΣ**

Νὴ τὸν Ἡρακλέα οἶμαί γε.

**ΕΥΡΙΠΙΔΗΣ**

Σίγα νυν.

**ΚΗΔΕΣΤΗΣ**

Σιωπῶ τὸ θύριον.

**ΕΥΡΙΠΙΔΗΣ**

Ἄκου'.

**ΚΗΔΕΣΤΗΣ**

Ἀκούω καὶ σιωπῶ τὸ θύριον.

**ΕΥΡΙΠΙΔΗΣ**

Ἐνταῦθ' Ἀγάθων ὁ κλεινὸς οἰκῶν τυγχάνει

ὁ τραγῳδοποιός.

**ΚΗΔΕΣΤΗΣ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

30 Ποῖος οὗτος Ἁγάθων; Ἔστιν τις Ἀγάθων—
31 Μῶν ὁ μέλας, ὁ καρτερός;

**ΕΥΡΙΠΙΔΗΣ**

31 Οὔκ, ἀλλ’ ἕτερός τις.

**ΚΗΔΕΣΤΗΣ**

32 Οὐχ ἑόρακα πώποτε. Μῶν ὁ δασυπώγων;

**ΕΥΡΙΠΙΔΗΣ**

33 Οὐχ ἑόρακας πώποτε;

**ΚΗΔΕΣΤΗΣ**

33 Μὰ τὸν Δί’ οὔπω γ’ ὥστε κἀμέ γ’ εἰδέναι.

**ΕΥΡΙΠΙΔΗΣ**

35 Καὶ μὴν βεβίνηκας σύ γ’, ἀλλ’ οὐκ οἶσθ’ ἴσως. Ἀλλ’ ἐκποδὼν πτήξωμεν, ὡς ἐξέρχεται θεράπων τις αὐτοῦ πῦρ ἔχων καὶ μυρρίνας, προθυσόμενος, ἔοικε, τῆς ποήσεως.

**ΘΕΡΑΠΩΝ**

39 Εὔφημος πᾶς ἔστω λαός,
40 στόμα συγκλῄσας· ἐπιδημεῖ γὰρ θίασος Μουσῶν ἔνδον μελάθρων τῶν δεσποσύνων μελοποιῶν. Ἐχέτω δὲ πνοὰς νήνεμος αἰθήρ, κῦμα δὲ πόντου μὴ κελαδείτω
45 γλαυκόν—

**ΚΗΔΕΣΤΗΣ**

45 Βομβάξ.

**ΕΥΡΙΠΙΔΗΣ**

45 Σίγα. Τί λέγει;

**ΘΕΡΑΠΩΝ**

45 πτηνῶν τε γένη κατακοιμάσθω, θηρῶν τ’ ἀγρίων πόδες ὑλοδρόμων μὴ λυέσθων· —

**ΚΗΔΕΣΤΗΣ**

48 Βομβαλοβομβάξ.

**ΘΕΡΑΠΩΝ**

48 μέλλει γὰρ ὁ καλλιεπὴς Ἀγάθων
48 πρόμος ἡμέτερος—

**ΚΗΔΕΣΤΗΣ**

48 Μῶν βινεῖσθαι;

**ΘΕΡΑΠΩΝ**

48 Τίς ὁ φωνήσας;

**ΚΗΔΕΣΤΗΣ**

51

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Νήνεμος αἰθήρ.

**ΘΕΡΑΠΩΝ**

51 δρυόχους τιθέναι δράματος ἀρχάς. Κάμπτει δὲ νέας ἁψῖδας ἐπῶν, τὰ δὲ τορνεύει, τὰ δὲ κολλομελεῖ,

55 καὶ γνωμοτυπεῖ κἀντονομάζει καὶ κηροχυτεῖ καὶ γογγύλλει καὶ χοανεύει—

**ΚΗΔΕΣΤΗΣ**

57 καὶ λαικάζει.

**ΘΕΡΑΠΩΝ**

57 Τίς ἀγροιώτας πελάθει θριγκοῖς;

**ΚΗΔΕΣΤΗΣ**

57 Ὃς ἕτοιμος σοῦ τοῦ τε ποητοῦ

60 τοῦ καλλιεποῦς κατὰ τοῦ θριγκοῦ συγγογγύλας καὶ συστρέψας τουτὶ τὸ πέος χοανεῦσαι.

**ΘΕΡΑΠΩΝ**

60 Ἦ που νέος γ᾽ ὢν ἦσθ᾽ ὑβριστής, ὦ γέρον.

**ΕΥΡΙΠΙΔΗΣ**

60 Ὦ δαιμόνιε, τοῦτον μὲν ἔα χαίρειν, σὺ δὲ

65 Ἀγάθωνά μοι δεῦρ᾽ ἐκκάλεσον πάσῃ τέχνῃ.

**ΘΕΡΑΠΩΝ**

65 Μηδὲν ἱκέτευ᾽· αὐτὸς γὰρ ἔξεισιν τάχα· καὶ γὰρ μελοποεῖν ἄρχεται. Χειμῶνος οὖν ὄντος κατακάμπτειν τὰς στροφὰς οὐ ῥᾴδιον, ἢν μὴ προΐῃ θύραζε πρὸς τὸν ἥλιον.

**ΕΥΡΙΠΙΔΗΣ**

70 Τί οὖν ἐγὼ δρῶ;

**ΘΕΡΑΠΩΝ**

70 Περίμεν᾽, ὡς ἐξέρχεται.

**ΕΥΡΙΠΙΔΗΣ**

70 Ὦ Ζεῦ, τί δρᾶσαι διανοεῖ με τήμερον;

**ΚΗΔΕΣΤΗΣ**

70 Νὴ τοὺς θεοὺς ἐγὼ πυθέσθαι βούλομαι τί τὸ πρᾶγμα τουτί. Τί στένεις; Τί δυσφορεῖς; Οὐ χρῆν σε κρύπτειν ὄντα κηδεστὴν ἐμόν.

**ΕΥΡΙΠΙΔΗΣ**

75 Ἔστιν κακόν μοι μέγα τι προπεφυραμένον.

**ΚΗΔΕΣΤΗΣ**

75 Ποῖόν τι;

**ΕΥΡΙΠΙΔΗΣ**

76 Τῇδε θἠμέρᾳ κριθήσεται εἴτ᾽ ἔστ᾽ ἔτι ζῶν εἴτ᾽ ἀπόλωλ᾽ Εὐριπίδης.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΚΗΔΕΣΤΗΣ**

Καὶ πῶς; ἐπεὶ νῦν γ’ οὔτε τὰ δικαστήρια
μέλλει δικάζειν οὔτε βουλῆς ἐσθ’ ἕδρα,
ἐπείπερ ἐστὶ Θεσμοφορίων ἡ μέση.

**ΕΥΡΙΠΙΔΗΣ**

Τοῦτ’ αὐτὸ γάρ τοι κἀπολεῖν με προσδοκῶ. Αἱ γὰρ γυναῖκες ἐπιβεβουλεύκασί μοι κἀν Θεσμοφόροιν μέλλουσι περί μου τήμερον ἐκκλησιάζειν ἐπ’ ὀλέθρῳ.

**ΚΗΔΕΣΤΗΣ**

Τιὴ τί δή;

**ΕΥΡΙΠΙΔΗΣ**

Ὁτιὴ τραγῳδῶ καὶ κακῶς αὐτὰς λέγω.

**ΚΗΔΕΣΤΗΣ**

Νὴ τὸν Ποσειδῶ καὶ δίκαιά 〈γ’〉 ἂν πάθοις. Ἀτὰρ τίν’ ἐκ τούτων σὺ μηχανὴν ἔχεις;

**ΕΥΡΙΠΙΔΗΣ**

Ἀγάθωνα πεῖσαι τὸν τραγῳδοδιδάσκαλον εἰς Θεσμοφόροιν ἐλθεῖν.

**ΚΗΔΕΣΤΗΣ**

Τί δράσοντ’; εἰπέ μοι.

**ΕΥΡΙΠΙΔΗΣ**

Ἐκκλησιάσοντ’ ἐν ταῖς γυναιξὶ χἂν δέῃ λέξονθ’ ὑπὲρ ἐμοῦ.

**ΚΗΔΕΣΤΗΣ**

Πότερα φανερῶς ἢ λάθρᾳ;

**ΕΥΡΙΠΙΔΗΣ**

Λάθρᾳ, στολὴν γυναικὸς ἠμφιεσμένον.

**ΚΗΔΕΣΤΗΣ**

Τὸ πρᾶγμα κομψὸν καὶ σφόδρ’ ἐκ τοῦ σοῦ τρόπου· τοῦ γὰρ τεχνάζειν ἡμέτερος ὁ πυραμοῦς.

**ΕΥΡΙΠΙΔΗΣ**

Σίγα.

**ΚΗΔΕΣΤΗΣ**

Τί δ’ ἐστίν;

**ΕΥΡΙΠΙΔΗΣ**

Ἁγάθων ἐξέρχεται.

**ΚΗΔΕΣΤΗΣ**

Καὶ ποῦ ’σθ’;

**ΕΥΡΙΠΙΔΗΣ**

96 〈Ὅπου〉 ’στίν; Οὗτος οὑκκυκλούμενος.

**ΚΗΔΕΣΤΗΣ**

96 Ἀλλ’ ἦ τυφλὸς μέν εἰμ’; Ἐγὼ γὰρ οὐχ ὁρῶ ἄνδρ’ οὐδέν’ ἐνθάδ’ ὄντα, Κυρήνην δ’ ὁρῶ.

**ΕΥΡΙΠΙΔΗΣ**

96 Σίγα· μελῳδεῖν γὰρ παρασκευάζεται.

**ΚΗΔΕΣΤΗΣ**

96 Μύρμηκος ἀτραπούς, ἢ τί διαμινυρίζεται;

**ΑΓΑΘΩΝ**

101 Ἱερὰν Χθονίαιν δεξάμεναι λαμπάδα, κοῦραι, ξὺν ἐλευθέρᾳ πραπίδι χορεύσασθε βοάν. —

104 Τίνι δαιμόνων ὁ κῶμος;

105 Λέγε νιν. Εὐπίστως δὲ τοὐμὸν δαίμονας ἔχει σεβίσαι. — Ἄγετ’ ὦ κλῄζετε, Μοῦσαι, χρυσέων ῥύτορα τόξων Φοῖβον, ὃς ἱδρύσατο χώρας

110 γύαλα Σιμουντίδι γᾷ. —

111 Χαῖρε καλλίσταις ἀοιδαῖς, Φοῖβ’, ἐν εὐμούσοισι τιμαῖς γέρας ἱερὸν προφέρων. — Τάν τ’ ἐν ὄρεσι δρυογόνοισιν

115 κόραν ἀείσατ’ Ἄρτεμιν ἀγροτέραν. —

115 Ἕπομαι κλῄζουσα σεμνὰν γόνον ὀλβίζουσα Λατοῦς,

115 Ἄρτεμιν ἀπειρολεχῆ. —

120 Λατώ τε κρούματά τ’ Ἀσιάδος ποδὶ παράρυθμ’ εὔρυθμα, Φρυγίων διανεύματα Χαρίτων. —

122 Σέβομαι Λατώ τ’ ἄνασσαν κίθαρίν τε ματέρ’ ὕμνων ἄρσενι βοᾷ δοκίμων. —

125 Τᾷ φάος ἔσσυτο δαιμονίοις ὄμμασιν, ἁμετέρας τε δι’ αἰφνιδίου ὀπός. Ὧν χάριν ἄνακτ’ ἄγαλλε Φοῖβον. —

129 Χαῖρ’, ὄλβιε παῖ Λατοῦς.

**ΚΗΔΕΣΤΗΣ**

130 Ὡς ἡδὺ τὸ μέλος, ὦ πότνιαι Γενετυλλίδες, καὶ θηλυδριῶδες καὶ κατεγλωττισμένον καὶ μανδαλωτόν, ὥστ’ ἐμοῦ γ’ ἀκροωμένου ὑπὸ τὴν ἕδραν αὐτὴν ὑπῆλθε γάργαλος. Καί ς’, ὦ νεανίσκ’, εἴ τις εἶ, κατ’ Αἰσχύλον

135 ἐκ τῆς Λυκουργείας ἐρέσθαι βούλομαι. Ποδαπὸς ὁ γύννις; Τίς πάτρα; Τίς ἡ στολή; Τίς ἡ τάραξις τοῦ βίου; Τί βάρβιτος

135 λαλεῖ κροκωτῷ; Τί δὲ δορὰ κεκρυφάλῳ; Τί λήκυθος καὶ στρόφιον; Ὡς οὐ ξύμφορα.

140 Τίς δαὶ κατόπτρου καὶ ξίφους κοινωνία; Σύ τ’ αὐτός, ὦ παῖ, πότερον ὡς ἀνὴρ τρέφει; Καὶ ποῦ πέος; Ποῦ χλαῖνα; Ποῦ Λακωνικαί; Ἀλλ’ ὡς γυνὴ δῆτ’; Εἶτα ποῦ τὰ τιτθία; Τί φῄς; Τί σιγᾷς; Ἀλλὰ δῆτ’ ἐκ τοῦ μέλους

145 ζητῶ ς’, ἐπειδή γ’ αὐτὸς οὐ βούλει φράσαι;

**ΑΓΑΘΩΝ**

145 Ὦ πρέσβυ πρέσβυ, τοῦ φθόνου μὲν τὸν ψόγον ἤκουσα, τὴν δ’ ἄλγησιν οὐ παρεσχόμην· ἐγὼ δὲ τὴν ἐσθῆθ’ ἅμα 〈τῇ〉 γνώμῃ φορῶ. Χρὴ γὰρ ποητὴν ἄνδρα πρὸς τὰ δράματα

145

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἃ δεῖ ποεῖν, πρὸς ταῦτα τοὺς τρόπους ἔχειν. Αὐτίκα γυναικεῖ' ἢν ποῇ τις δράματα, μετουσίαν δεῖ τῶν τρόπων τὸ σῶμ' ἔχειν.

**ΚΗΔΕΣΤΗΣ**

145 Οὐκοῦν κελητίζεις, ὅταν Φαίδραν ποῇς;

**ΑΓΑΘΩΝ**

145 Ἀνδρεῖα δ' ἢν ποῇ τις, ἐν τῷ σώματι
155 ἔνεσθ' ὑπάρχον τοῦθ'. Ἃ δ' οὐ κεκτήμεθα, μίμησις ἤδη ταῦτα συνθηρεύεται.

**ΚΗΔΕΣΤΗΣ**

155 Ὅταν σατύρους τοίνυν ποῇς, καλεῖν ἐμέ, ἵνα συμποιῶ σοὔπισθεν ἐστυκὼς ἐγώ.

**ΑΓΑΘΩΝ**

155 Ἄλλως τ' ἄμουσόν ἐστι ποιητὴν ἰδεῖν
160 ἀγρεῖον ὄντα καὶ δασύν. Σκέψαι δ' ὅτι Ἴβυκος ἐκεῖνος κἀνακρέων ὁ Τήιος κἀλκαῖος, οἵπερ ἁρμονίαν ἐχύμισαν, ἐμιτροφόρουν τε κἀχλίδων Ἰωνικῶς.
160 Καὶ Φρύνιχος, —τοῦτον γὰρ οὖν ἀκήκοας, —
165 αὐτός τε καλὸς ἦν καὶ καλῶς ἠμπίσχετο· διὰ τοῦτ' ἄρ' αὐτοῦ καὶ κάλ' ἦν τὰ δράματα. Ὅμοια γὰρ ποεῖν ἀνάγκη τῇ φύσει.

**ΚΗΔΕΣΤΗΣ**

165 Ταῦτ' ἄρ' ὁ Φιλοκλέης αἰσχρὸς ὢν αἰσχρῶς ποεῖ, ὁ δὲ Ξενοκλέης ὢν κακὸς κακῶς ποεῖ,
170 ὁ δ' αὖ Θέογνις ψυχρὸς ὢν ψυχρῶς ποεῖ.

**ΑΓΑΘΩΝ**

170 Ἅπας' ἀνάγκη. Ταῦτα γάρ τοι γνοὺς ἐγὼ ἐμαυτὸν ἐθεράπευσα.

**ΚΗΔΕΣΤΗΣ**

172 Πῶς, πρὸς τῶν θεῶν;

**ΕΥΡΙΠΙΔΗΣ**

172 Παῦσαι βαΰζων· καὶ γὰρ ἐγὼ τοιοῦτος ἦν ὢν τηλικοῦτος, ἡνίκ' ἠρχόμην ποεῖν.

**ΚΗΔΕΣΤΗΣ**

175 Μὰ τὸν Δί', οὐ ζηλῶ σε τῆς παιδεύσεως.

**ΕΥΡΙΠΙΔΗΣ**

175 Ἀλλ' ὧνπερ οὕνεκ' ἦλθον, ἔα μ' εἰπεῖν.

**ΚΗΔΕΣΤΗΣ**

176 Λέγε.

**ΕΥΡΙΠΙΔΗΣ**

176 Ἀγάθων, «σοφοῦ πρὸς ἀνδρός, ὅστις ἐν βραχεῖ πολλοὺς καλῶς οἷός τε συντέμνειν λόγους.» Ἐγὼ δὲ καινῇ ξυμφορᾷ πεπληγμένος
180 ἱκέτης ἀφῖγμαι πρὸς σέ.

**ΑΓΑΘΩΝ**

Τοῦ χρείαν ἔχων;

**ΕΥΡΙΠΙΔΗΣ**

Μέλλουσί μ’ αἱ γυναῖκες ἀπολεῖν τήμερον τοῖς Θεσμοφορίοις, ὅτι κακῶς αὐτὰς λέγω.

**ΑΓΑΘΩΝ**

Τίς οὖν παρ’ ἡμῶν ἐστιν ὠφέλειά σοι;

**ΕΥΡΙΠΙΔΗΣ**

Ἡ πᾶς’. Ἐὰν γὰρ ἐγκαθεζόμενος λάθρᾳ
ἐν ταῖς γυναιξίν, ὡς δοκῶν εἶναι γυνή, ὑπεραποκρίνῃ μου, σαφῶς σώσεις ἐμέ. Μόνος γὰρ ἂν λέξειας ἀξίως ἐμοῦ.

**ΑΓΑΘΩΝ**

Ἔπειτα πῶς οὐκ αὐτὸς ἀπολογεῖ παρών;

**ΕΥΡΙΠΙΔΗΣ**

Ἐγὼ φράσω σοι. Πρῶτα μὲν γιγνώσκομαι·
ἔπειτα πολιός εἰμι καὶ πώγων’ ἔχω, σὺ δ’ εὐπρόσωπος, λευκός, ἐξυρημένος, γυναικόφωνος, ἁπαλός, εὐπρεπὴς ἰδεῖν.

**ΑΓΑΘΩΝ**

Εὐριπίδη—

**ΕΥΡΙΠΙΔΗΣ**

Τί ἐστιν;

**ΑΓΑΘΩΝ**

Ἐπόησάς ποτε· «Χαίρεις ὁρῶν φῶς, πατέρα δ’ οὐ χαίρειν δοκεῖς;»

**ΕΥΡΙΠΙΔΗΣ**

Ἔγωγε.

**ΑΓΑΘΩΝ**

Μή νυν ἐλπίσῃς τὸ σὸν κακὸν ἡμᾶς ὑφέξειν. Καὶ γὰρ ἂν μαινοίμεθ’ ἄν. Ἀλλ’ αὐτὸς ὅ γε σόν ἐστιν οἰκείως φέρε. Τὰς συμφορὰς γὰρ οὐχὶ τοῖς τεχνάσμασιν φέρειν δίκαιον, ἀλλὰ τοῖς παθήμασιν.

**ΚΗΔΕΣΤΗΣ**

Καὶ μὴν σύ γ’, ὦ κατάπυγον, εὐρύπρωκτος εἶ οὐ τοῖς λόγοισιν, ἀλλὰ τοῖς παθήμασιν.

**ΕΥΡΙΠΙΔΗΣ**

Τί δ’ ἐστὶν ὅτι δέδοικας ἐλθεῖν αὐτόσε;

**ΑΓΑΘΩΝ**

Κάκιον ἀπολοίμην ἂν ἢ σύ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΕΥΡΙΠΙΔΗΣ**

Πῶς;

**ΑΓΑΘΩΝ**

Ὅπως; Δοκῶν γυναικῶν ἔργα νυκτερείσια
κλέπτειν ὑφαρπάζειν τε θήλειαν Κύπριν.

**ΚΗΔΕΣΤΗΣ**

Ἰδού γε κλέπτειν· νὴ Δία, βινεῖσθαι μὲν οὖν. Ἀτὰρ ἡ πρόφασίς γε νὴ Δί’ εἰκότως ἔχει.

**ΕΥΡΙΠΙΔΗΣ**

Τί οὖν; Ποήσεις ταῦτα;

**ΑΓΑΘΩΝ**

Μὴ δόκει γε σύ.

**ΕΥΡΙΠΙΔΗΣ**

Ὦ τρισκακοδαίμων, ὡς ἀπόλωλ’.

**ΚΗΔΕΣΤΗΣ**

Εὐριπίδη,
ὦ φίλτατ’, ὦ κηδεστά, μὴ σαυτὸν προδῷς.

**ΕΥΡΙΠΙΔΗΣ**

Πῶς οὖν ποήσω δῆτα;

**ΚΗΔΕΣΤΗΣ**

Τοῦτον μὲν μακρὰ κλάειν κέλευ’, ἐμοὶ δ’ ὅ τι βούλει χρῶ λαβών.

**ΕΥΡΙΠΙΔΗΣ**

Ἄγε νυν, ἐπειδὴ σαυτὸν ἐπιδίδως ἐμοί, ἀπόδυθι τουτὶ θοἰμάτιον.

**ΚΗΔΕΣΤΗΣ**

Καὶ δὴ χαμαί.
Ἀτὰρ τί μέλλεις δρᾶν μ’;

**ΕΥΡΙΠΙΔΗΣ**

Ἀποξυρεῖν ταδί, τὰ κάτω δ’ ἀφεύειν.

**ΚΗΔΕΣΤΗΣ**

Ἀλλὰ πρᾶττ’, εἴ σοι δοκεῖ· ἢ μὴ διδόναι γ’ ἐμαυτὸν ὤφελον τότε.

**ΕΥΡΙΠΙΔΗΣ**

Ἀγάθων, σὺ μέντοι ξυροφορεῖς ἑκάστοτε, χρῆσόν τί νυν ἡμῖν ξυρόν.

**ΑΓΑΘΩΝ**

Αὐτὸς λάμβανε
ἐντεῦθεν ἐκ τῆς ξυροδόκης.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΕΥΡΙΠΙΔΗΣ**

220 Γενναῖος εἶ. Κάθιζε· φύσα τὴν γνάθον τὴν δεξιάν.

**ΚΗΔΕΣΤΗΣ**

220 Οἴμοι.

**ΕΥΡΙΠΙΔΗΣ**

222 Τί κέκραγας; Ἐμβαλῶ σοι πάτταλον, ἢν μὴ σιωπᾷς.

**ΚΗΔΕΣΤΗΣ**

223 Ἀτταταῖ ἰατταταῖ.

**ΕΥΡΙΠΙΔΗΣ**

223 Οὗτος σύ, ποῖ θεῖς;

**ΚΗΔΕΣΤΗΣ**

224 Εἰς τὸ τῶν σεμνῶν θεῶν·
225 οὐ γὰρ μὰ τὴν Δήμητρ’ ἔτ’ ἐνταυθοῖ μενῶ τεμνόμενος.

**ΕΥΡΙΠΙΔΗΣ**

226 Οὔκουν καταγέλαστος δῆτ’ ἔσει τὴν ἡμίκραιραν τὴν ἑτέραν ψιλὴν ἔχων;

**ΚΗΔΕΣΤΗΣ**

226 Ὀλίγον μέλει μοι.

**ΕΥΡΙΠΙΔΗΣ**

228 Μηδαμῶς, πρὸς τῶν θεῶν, προδῷς με. Χώρει δεῦρο.

**ΚΗΔΕΣΤΗΣ**

229 Κακοδαίμων ἐγώ.

**ΕΥΡΙΠΙΔΗΣ**

230 Ἔχ’ ἀτρέμα σαυτὸν κἀνάκυπτε. Ποῖ στρέφει;

**ΚΗΔΕΣΤΗΣ**

230 Μῦ μῦ.

**ΕΥΡΙΠΙΔΗΣ**

231 Τί μύζεις; Πάντα πεπόηται καλῶς.

**ΚΗΔΕΣΤΗΣ**

231 Οἴμοι κακοδαίμων, ψιλὸς οὖν στρατεύσομαι.

**ΕΥΡΙΠΙΔΗΣ**

231 Μὴ φροντίσῃς· ὡς εὐπρεπὴς φανεῖ πάνυ. Βούλει θεᾶσθαι σαυτόν;

**ΚΗΔΕΣΤΗΣ**

234 Εἰ δοκεῖ, φέρε.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΕΥΡΙΠΙΔΗΣ**

235 Ὁρᾷς σεαυτόν;

**ΚΗΔΕΣΤΗΣ**

235 Οὐ μὰ Δί’, ἀλλὰ Κλεισθένη.

**ΕΥΡΙΠΙΔΗΣ**

235 Ἀνίστας’, ἵν’ ἀφεύσω σε, κἀγκύψας ἔχε.

**ΚΗΔΕΣΤΗΣ**

235 Οἴμοι κακοδαίμων, δελφάκιον γενήσομαι.

**ΕΥΡΙΠΙΔΗΣ**

235 Ἐνεγκάτω τις ἔνδοθεν δᾷδ’ ἢ λύχνον. Ἐπίκυπτε· τὴν κέρκον φυλάττου νυν ἄκραν.

**ΚΗΔΕΣΤΗΣ**

240 Ἐμοὶ μελήσει νὴ Δία, πλήν γ’ ὅτι κάομαι. Οἴμοι τάλας. Ὕδωρ ὕδωρ, ὦ γείτονες, πρὶν ἀντιλαβέσθαι τὴν τράμιν μου τῆς φλογός.

**ΕΥΡΙΠΙΔΗΣ**

240 Θάρρει.

**ΚΗΔΕΣΤΗΣ**

243 Τί θαρρῶ καταπεπυρπολημένος;

**ΕΥΡΙΠΙΔΗΣ**

243 Ἀλλ’ οὐκέτ’ οὐδὲν πρᾶγμά σοι· τὰ πλεῖστα γὰρ
245 ἀποπεπόνηκας.

**ΚΗΔΕΣΤΗΣ**

245 Φῦ, ἰοὺ τῆς ἀσβόλου. Αἰθὸς γεγένημαι πάντα τὰ περὶ τὴν τράμιν.

**ΕΥΡΙΠΙΔΗΣ**

245 Μὴ φροντίσῃς· Σάτυρος γὰρ αὐτὰ σπογγιεῖ.

**ΚΗΔΕΣΤΗΣ**

245 Οἰμώξεται τἄρ’ εἰ τὸν ἐμὸν πρωκτὸν πλυνεῖ.

**ΕΥΡΙΠΙΔΗΣ**

245 Ἀγάθων, ἐπειδὴ σαυτὸν ἐπιδοῦναι φθονεῖς,
245 ἀλλ’ ἱμάτιον γοῦν χρῆσον ἡμῖν τουτῳὶ καὶ στρόφιον· οὐ γὰρ ταῦτά γ’ ὡς οὐκ ἔστ’ ἐρεῖς.

**ΑΓΑΘΩΝ**

245 Λαμβάνετε καὶ χρῆσθ’· οὐ φθονῶ.

**ΚΗΔΕΣΤΗΣ**

252 Τί οὖν λάβω;

**ΕΥΡΙΠΙΔΗΣ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

252 Ὅ τι; τὸν κροκωτὸν πρῶτον ἐνδύου λαβών.

**ΚΗΔΕΣΤΗΣ**

252 Νὴ τὴν Ἀφροδίτην, ἡδύ γ’ ὄζει ποσθίου.

255 Σύζωσον ἀνύσας. Αἶρέ νυν στρόφιον.

**ΕΥΡΙΠΙΔΗΣ**

255 Ἰδού·

**ΚΗΔΕΣΤΗΣ**

255 Ἴθι νυν κατάστειλόν με τὰ περὶ τὼ σκέλει.

**ΕΥΡΙΠΙΔΗΣ**

255 Κεκρυφάλου δεῖ καὶ μίτρας.

**ΑΓΑΘΩΝ**

257 Ἡδὶ μὲν οὖν κεφαλὴ περίθετος, ἣν ἐγὼ νύκτωρ φορῶ.

**ΕΥΡΙΠΙΔΗΣ**

257 Νὴ τὸν Δί’, ἀλλὰ κἀπιτηδεία πάνυ.

**ΚΗΔΕΣΤΗΣ**

260 Ἆρ’ ἁρμόσει μοι;

**ΕΥΡΙΠΙΔΗΣ**

260 Νὴ Δί’, ἀλλ’ ἄριστ’ ἔχει. Φέρ’ ἔγκυκλόν τι.

**ΑΓΑΘΩΝ**

261 Λάμβαν’ ἀπὸ τῆς κλινίδος.

**ΕΥΡΙΠΙΔΗΣ**

261 Ὑποδημάτων δεῖ.

**ΑΓΑΘΩΝ**

262 Τἀμὰ ταυτὶ λάμβανε.

**ΚΗΔΕΣΤΗΣ**

262 Ἆρ’ ἁρμόσει μοι; Χαλαρά γ’ οὐ χαίρεις φορῶν.

**ΑΓΑΘΩΝ**

262 Σὺ τοῦτο γίγνωσκ’. Ἀλλ’—ἔχεις γὰρ ὧν δέει, —

265 εἴσω τις ὡς τάχιστά μ’ εἰσκυκλησάτω.

**ΕΥΡΙΠΙΔΗΣ**

265 Ἀνὴρ μὲν ἡμῖν οὑτοσὶ καὶ δὴ γυνὴ τό γ’ εἶδος. Ἢν λαλῇς δ’, ὅπως τῷ φθέγματι γυναικιεῖς εὖ καὶ πιθανῶς.

**ΚΗΔΕΣΤΗΣ**

268 Πειράσομαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΕΥΡΙΠΙΔΗΣ**

268 Βάδιζε τοίνυν.

**ΚΗΔΕΣΤΗΣ**

269 Μὰ τὸν Ἀπόλλω οὔκ, ἤν γε μὴ

270 ὀμόσῃς ἐμοί—

**ΕΥΡΙΠΙΔΗΣ**

270 Τί χρῆμα;

**ΚΗΔΕΣΤΗΣ**

270 συσσώσειν ἐμὲ πάσαις τέχναις, ἤν μοί τι περιπίπτῃ κακόν.

**ΕΥΡΙΠΙΔΗΣ**

270 Ὄμνυμι τοίνυν αἰθέρ’, οἴκησιν Διός.

**ΚΗΔΕΣΤΗΣ**

270 Τί μᾶλλον ἢ τὴν Ἱπποκράτους ξυνοικίαν;

**ΕΥΡΙΠΙΔΗΣ**

270 Ὄμνυμι τοίνυν πάντας ἄρδην τοὺς θεούς.

**ΚΗΔΕΣΤΗΣ**

275 Μέμνησο τοίνυν ταῦθ’, ὅτι ἡ φρὴν ὤμοσεν, ἡ γλῶττα δ’ οὐκ ὀμώμοκ’, οὐδ’ ὥρκως’ ἐγώ.

**ΕΥΡΙΠΙΔΗΣ**

275 Ἔα σπεῦδε ταχέως· ὡς τὸ τῆς ἐκκλησίας σημεῖον ἐν τῷ Θεσμοφορείῳ φαίνεται. Ἐγὼ δ’ ἄπειμι.

**ΚΗΔΕΣΤΗΣ**

279 Δεῦρό νυν, ὦ Θρᾷτθ’, ἕπου.

280 Ὦ Θρᾷττα, θέασαι, καομένων τῶν λαμπάδων ὅσον τὸ χρῆμ’ ἀνέρχεθ’ ὑπὸ τῆς λιγνύος. Ἀλλ’, ὦ περικαλλεῖ Θεσμοφόρω, δέξασθέ με ἀγαθῇ τύχῃ καὶ δεῦρο 〈καὶ〉 πάλιν οἴκαδε. Ὦ Θρᾷττα, τὴν κίστην κάθελε, κᾆτ’ ἔξελε

285 τὸ πόπανον, ὅπως λαβοῦσα θύσω τοῖν θεοῖν. Δέσποινα πολυτίμητε Δήμητερ φίλη καὶ Φερρέφαττα, πολλὰ πολλάκις μέ σοι θύειν ἔχουσαν, εἰ δὲ μἀλλὰ νῦν λαθεῖν. Καὶ τὴν θυγατέρ’ εὔχοιρον ἀνδρός μοι τυχεῖν

290 πλουτοῦντος, ἄλλως δ’ ἠλιθίου κἀβελτέρου,

290 καὶ πρὸς σαθίσκον νοῦν ἔχειν μοι καὶ φρένας. Ποῦ ποῦ καθίζωμ’ ἐν καλῷ, τῶν ῥητόρων ἵν’ ἐξακούω; Σὺ δ’ ἄπιθ’, ὦ Θρᾷττ’, ἐκποδών· δούλοις γὰρ οὐκ ἔξεστ’ ἀκούειν τῶν λόγων.

**ΓΥΝΗ**

295–296 Εὐφημία ἔστω, εὐφημία ἔστω. Εὔχεσθε τοῖν Θεσ-

296–297 μοφόροιν, καὶ τῷ Πλούτῳ, καὶ τῇ Καλλιγενείᾳ, καὶ

298–300 τῇ Κουροτρόφῳ, καὶ τῷ Ἑρμῇ, καὶ 〈ταῖσ〉 Χάρισιν,

300–301 ἐκκλησίαν τήνδε καὶ σύνοδον τὴν νῦν κάλλιστα καὶ

302 ἄριστα ποῆσαι, πολυωφελῶς μὲν 〈τῇ〉 πόλει τῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

303-305 Ἀθηναίων, τυχηρῶς δ’ ὑμῖν αὐταῖς. Καὶ τὴν δρῶ-
305-306 σαν καὶ ἀγορεύουσαν τὰ βέλτιστα περὶ τὸν δῆμον
307 τὸν Ἀθηναίων καὶ τὸν τῶν γυναικῶν, ταύτην νικᾶν.
308-310 Ταῦτ’ εὔχεσθε, καὶ ὑμῖν αὐταῖς τἀγαθά. Ἰὴ παιών,
311 ἰὴ παιών, ἰὴ παιών. Χαίρωμεν.

**ΧΟΡΟΣ**

311 Δεχόμεθα καὶ θεῶν γένος λιτόμεθα ταῖσδ’ ἐπ’ εὐχαῖς φανέντας ἐπιχαρῆναι.
315 Ζεῦ μεγαλώνυμε χρυσολύρα τε Δῆλον ὃς ἔχεις ἱεράν, καὶ σύ, παγκρατὲς κόρα γλαυκῶπι χρυσόλογχε πόλιν οἰκοῦσα περιμάχητον, ἐλθὲ δεῦρο·
320 καὶ πολυώνυμε θηροφόνη,
320 Λατοῦς χρυσώπιδος ἔρνος, σύ τε, πόντιε σεμνὲ Πόσειδον ἁλιμέδον, προλιπὼν μυχὸν ἰχθυόεντα
325 οἰστροδόνητον, Νηρέος εἰναλίου τε κόραι Νύμφαι τ’ ὀρείπλαγκτοι. Χρυσέα δὲ φόρμιγξ ἰαχήσειεν ἐπ’ εὐχαῖς ἡμετέραις· τελέως δ’ ἐκ-
329 κλησιάσαιμεν Ἀθηνῶν
330 εὐγενεῖς γυναῖκες.

**ΓΥΝΗ**

330 Εὔχεσθε τοῖς θεοῖσι τοῖς Ὀλυμπίοις καὶ ταῖς Ὀλυμπίαισι, καὶ τοῖς Πυθίοις καὶ ταῖσι Πυθίαισι, καὶ τοῖς Δηλίοις καὶ ταῖσι Δηλίαισι, τοῖς τ’ ἄλλοις θεοῖς.
335 Εἴ τις ἐπιβουλεύει τι τῷ δήμῳ κακὸν τῷ τῶν γυναικῶν, ἢ ’πικηρυκεύεται Εὐριπίδῃ Μήδοις 〈τ’〉 ἐπὶ βλάβῃ τινὶ τῇ τῶν γυναικῶν, ἢ τυραννεῖν ἐπινοεῖ, ἢ τὸν τύραννον συγκατάγειν, ἢ παιδίον
340 ὑποβαλλομένης κατεῖπεν, ἢ δούλη τινὸς προαγωγὸς οὖς’ ἐνετρύλισεν τῷ δεσπότῃ, ἢ πεμπομένη τις ἀγγελίας ψευδεῖς φέρει, ἢ μοιχὸς εἴ τις ἐξαπατᾷ ψευδῆ λέγων καὶ μὴ δίδωσιν ἃν ὑπόσχηταί ποτε,
345 ἢ δῶρά τις δίδωσι μοιχῷ γραῦς γυνή, ἢ καὶ δέχεται προδιδοῦς’ ἑταίρα τὸν φίλον,
345 κεἴ τις κάπηλος ἢ καπηλὶς τοῦ χοῶς ἢ τῶν κοτυλῶν τὸ νόμισμα διαλυμαίνεται, κακῶς ἀπολέσθαι τοῦτον αὐτὸν κᾠκίαν
345 ἀρᾶσθε, ταῖς δ’ ἄλλαισιν ὑμῖν τοὺς θεοὺς εὔχεσθε πάσαις πολλὰ δοῦναι κἀγαθά.

**ΧΟΡΟΣ**

351 Ξυνευχόμεσθα τέλεα μὲν πόλει, τέλεα δὲ δήμῳ τάδ’ εὔγματ’ ἀποτελεῖσθαι,
355 τὰ δ’ ἄρισθ’ ὅσαις προσήκει νικᾶν λεγούσαις. Ὁπόσαι δ’
357-358 ἐξαπατῶσιν παραβαίνουσί τε τοὺς
359 ὅρκους τοὺς νενομισμένους
360 κερδῶν οὕνεκ’ ἐπὶ βλάβῃ, ἢ ψηφίσματα καὶ νόμον ζητοῦς’ ἀντιμεθιστάναι, τἀπόρρητά τε τοῖσιν ἐχθροῖς τοῖς ἡμετέροις λέγους’,
365 ἢ Μήδους ἐπάγουσι τῆς χώρας οὕνεκ’ ἐπὶ βλάβῃ, ἀσεβοῦς’ ἀδικοῦσί τε τὴν πόλιν. Ἀλλ’, ὦ παγκρατὲς Ζεῦ, ταῦτα κυρώσειας, ὥσθ’
370 ἡμῖν θεοὺς παραστατεῖν, καίπερ γυναιξὶν οὔσαις.

**ΓΥΝΗ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

372-373 Ἄκουε πᾶς’. Ἔδοξε τῇ βουλῇ τάδε

374 τῇ τῶν γυναικῶν· Τιμόκλει’ ἐπεστάτει,

375 Λύσιλλ’ ἐγραμμάτευεν, εἶπε Σωστράτη·

375 ἐκκλησίαν ποεῖν ἕωθεν τῇ μέσῃ τῶν Θεσμοφορίων, ᾗ μάλισθ’ ἡμῖν σχολή, καὶ χρηματίζειν πρῶτα περὶ Εὐριπίδου, ὅ τι χρὴ παθεῖν ἐκεῖνον· ἀδικεῖν γὰρ δοκεῖ

379 ἡμῖν ἁπάσαις. Τίς ἀγορεύειν βούλεται;

**ΓΥΝΗ Α**

380 Ἐγώ.

**ΓΥΝΗ**

380 Περίθου νυν τόνδε πρῶτον πρὶν λέγειν.

**ΧΟΡΟΣ**

380 Σίγα, σιώπα, πρόσεχε τὸν νοῦν· χρέμπτεται γὰρ ἤδη ὅπερ ποιοῦσ’ οἱ ῥήτορες. Μακρὰν ἔοικε λέξειν.

382 Φιλοτιμίᾳ μὲν οὐδεμιᾷ μὰ τὼ θεὼ λέξους’ ἀνέστην, ὦ γυναῖκες· ἀλλὰ γὰρ

385 βαρέως φέρω τάλαινα πολὺν ἤδη χρόνον, προπηλακιζομένας ὁρῶσ’ ἡμᾶς ὑπὸ Εὐριπίδου τοῦ τῆς λαχανοπωλητρίας καὶ πολλὰ καὶ παντοῖ’ ἀκουούσας κακά. Τί γὰρ οὗτος ἡμᾶς οὐκ ἐπισμῇ τῶν κακῶν;

390 Ποῦ δ’ οὐχὶ διαβέβληχ’, ὅπουπερ ἔμβραχυ εἰσὶν θεαταὶ καὶ τραγῳδοὶ καὶ χοροί, τὰς μοιχοτρόπους, τὰς ἀνδρεραστρίας καλῶν, τὰς οἰνοπότιδας, τὰς προδότιδας, τὰς λάλους, τὰς οὐδὲν ὑγιές, τὰς μέγ’ ἀνδράσιν κακόν;

395 Ὥστ’ εὐθὺς εἰσιόντες ἀπὸ τῶν ἰκρίων ὑποβλέπους’ ἡμᾶς σκοποῦνταί τ’ εὐθέως μὴ μοιχὸς ἔνδον ᾖ τις ἀποκεκρυμμένος. Δρᾶσαι δ’ ἔθ’ ἡμῖν οὐδὲν ὧνπερ καὶ πρὸ τοῦ

395 ἔξεστι· τοιαῦθ’ οὗτος ἐδίδαξεν κακὰ

395 τοὺς ἄνδρας ἡμῶν. Ὥστ’ ἐάν τίς 〈τινα〉 πλέκῃ γυνὴ στέφανον, ἐρᾶν δοκεῖ· κἂν ἐκβάλῃ σκεῦός τι κατὰ τὴν οἰκίαν πλανωμένη, ἀνὴρ ἐρωτᾷ· «Τῷ κατέαγεν ἡ χύτρα; Οὐκ ἔσθ’ ὅπως οὐ τῷ Κορινθίῳ ξένῳ.»

405 Κάμνει κόρη τις, εὐθὺς ἁδελφὸς λέγει· «Τὸ χρῶμα τοῦτό μ’ οὐκ ἀρέσκει τῆς κόρης.» Εἶέν. Γυνή τις ὑποβαλέσθαι βούλεται ἀποροῦσα παίδων, οὐδὲ τοῦτ’ ἔστιν λαθεῖν. Ἄνδρες γὰρ ἤδη παρακάθηνται πλησίον·

410 πρὸς τοὺς γέροντάς θ’ οἳ πρὸ τοῦ τὰς μείρακας ἤγοντο, διαβέβληκεν, ὥστ’ οὐδεὶς γέρων γαμεῖν ἐθέλει γυναῖκα διὰ τοὔπος τοδί· «Δέσποινα γὰρ γέροντι νυμφίῳ γυνή.» Εἶτα διὰ τοῦτον ταῖς γυναικωνίτισιν

415 σφραγῖδας ἐπιβάλλουσιν ἤδη καὶ μοχλοὺς τηροῦντες ἡμᾶς, καὶ προσέτι Μολοττικοὺς τρέφουσι μορμολυκεῖα τοῖς μοιχοῖς κύνας. Καὶ ταῦτα μὲν ξυγγνώσθ’· ἃ δ’ ἦν ἡμῖν πρὸ τοῦ αὐταῖς ταμιεῦσαι καὶ προαιρούσαις λαβεῖν

420 ἄλφιτον, ἔλαιον, οἶνον, οὐδὲ ταῦτ’ ἔτι ἔξεστιν. Οἱ γὰρ ἄνδρες ἤδη κλειδία αὐτοὶ φοροῦσι κρυπτά, κακοηθέστατα, Λακωνίκ’ ἄττα, τρεῖς ἔχοντα γομφίους. Πρὸ τοῦ μὲν οὖν ἦν ἀλλ’ ὑποῖξαι τὴν θύραν

425 ποησαμέναισι δακτύλιον τριωβόλου· νῦν δ’ οὗτος αὐτοὺς ᾠκότριψ Εὐριπίδης ἐδίδαξε θριπήδεστ’ ἔχειν σφραγίδια ἐξαψαμένους. Νῦν οὖν ἐμοὶ τούτῳ δοκεῖ

425 ὄλεθρόν τιν’ ἡμᾶς κυρκανᾶν ἁμωσγέπως,

430 ἢ φαρμάκοισιν ἢ μιᾷ γέ τῳ τέχνῃ,

431-432 ὅπως ἀπολεῖται. Ταῦτ’ ἐγὼ φανερῶς λέγω·

433 τὰ δ’ ἄλλα μετὰ τῆς γραμματέως συγγράψομαι.

433 Οὔπω ταύτης ἤκουσα

435 πολυπλοκωτέρας γυναικὸς

435 οὐδὲ δεινότερον λεγούσης. Πάντα γὰρ λέγει δίκαια· πάσας δ’ ἰδέας ἐξήτασεν, πάντα δ’ ἐβάστασε φρενὶ πυκνῶς τε ποικίλους λόγους ἀνηῦρεν

439 εὖ διεζητημένους.

440 Ὥστ’ ἂν εἰ λέγοι παρ’ αὐτὴν Ξενοκλέης ὁ Καρκίνου, δο-

441 κεῖν ἂν αὐτόν, ὡς ἐγῷμαι, πᾶσιν ὑμῖν

442 ἄντικρυς μηδὲν λέγειν.

### ΓΥΝΗ Β

443 Ὀλίγων ἕνεκα καὐτὴ παρῆλθον ῥημάτων. Τὰ μὲν γὰρ ἄλλ’ αὕτη κατηγόρηκεν εὖ·

445 ἃ δ’ ἐγὼ πέπονθα, ταῦτα λέξαι βούλομαι. Ἐμοὶ γὰρ ἁνὴρ ἀπέθανεν μὲν ἐν Κύπρῳ παιδάρια πέντε καταλιπών, ἁγὼ μόλις στεφανηπλοκοῦς’ ἔβοσκον ἐν ταῖς μυρρίναις. Τέως μὲν οὖν ἀλλ’ ἡμικάκως ἐβοσκόμην·

445 νῦν δ’ οὗτος ἐν ταῖσιν τραγῳδίαις ποιῶν τοὺς ἄνδρας ἀναπέπεικεν οὐκ εἶναι θεούς· ὥστ’ οὐκέτ’ ἐμπολῶμεν οὐδ’ εἰς ἥμισυ.

445 Νῦν οὖν ἁπάσαισιν παραινῶ καὶ λέγω τοῦτον κολάσαι τὸν ἄνδρα πολλῶν οὕνεκα·

455 ἄγρια γὰρ ἡμᾶς, ὦ γυναῖκες, δρᾷ κακά, ἅτ’ ἐν ἀγρίοισι τοῖς λαχάνοις αὐτὸς τραφείς. Ἀλλ’ εἰς ἀγορὰν ἄπειμι· δεῖ γὰρ ἀνδράσιν πλέξαι στεφάνους ξυνθηματιαίους εἴκοσιν.

### ΧΟΡΟΣ

458 Ἕτερον αὖ τι λῆμα τοῦτο

460 κομψότερον ἔτ’ ἢ τὸ πρότερον

460 ἀναπέφηνεν. Οἷα κατεστωμύλατο οὐκ ἄκαιρα, φρένας ἔχουσα καὶ πολύπλοκον νόημ’, οὐδ’ ἀσύνετ’, ἀλλὰ πιθανὰ πάντα.

465 Δεῖ δὲ ταύτης τῆς ὕβρεως ἡ-

465 μῖν τὸν ἄνδρα

465 περιφανῶς δοῦναι δίκην.

### ΚΗΔΕΣΤΗΣ

465 Τὸ μέν, ὦ γυναῖκες, ὀξυθυμεῖσθαι σφόδρα Εὐριπίδῃ, τοιαῦτ’ ἀκουούσας κακά, οὐ θαυμάσιόν ἐστ’, οὐδ’ ἐπιζεῖν τὴν χολήν. Καὐτὴ γὰρ ἔγωγ’, —οὕτως ὀναίμην τῶν τέκνων, —

470 μισῶ τὸν ἄνδρ’ ἐκεῖνον, εἰ μὴ μαίνομαι. Ὅμως δ’ ἐν ἀλλήλαισι χρὴ δοῦναι λόγον· αὐταὶ γάρ ἐσμεν, κοὐδεμί’ ἐκφορὰ λόγου. Τί ταῦτ’ ἔχουσαι ’κεῖνον αἰτιώμεθα βαρέως τε φέρομεν, εἰ δύ’ ἡμῶν ἢ τρία

475 κακὰ ξυνειδὼς εἶπε δρώσας μυρία; Ἐγὼ γὰρ αὐτὴ πρῶτον, ἵνα μἄλλην λέγω,

475 ξύνοιδ’ ἐμαυτῇ πολλὰ 〈δείν’·〉 ἐκεῖνο δ’ οὖν δεινότατον, ὅτε νύμφη μὲν ἦν τρεῖς ἡμέρας, ὁ δ’ ἀνὴρ παρ’ ἐμοὶ καθηῦδεν. Ἦν δέ μοι φίλος,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅσπερ με διεκόρησεν οὖσαν ἑπτέτιν. Οὗτος πόθῳ μου ’κνυεν ἐλθὼν τὴν θύραν· κᾆτ’ εὐθὺς ἔγνων· εἶτα καταβαίνω λάθρᾳ. Ὁ δ’ ἀνὴρ ἐρωτᾷ· «Ποῖ σὺ καταβαίνεις;» «Ὅποι; στρόφος μ’ ἔχει τὴν γαστέρ’, ὦνερ, κὠδύνη·

εἰς τὸν κοπρῶν’ οὖν ἔρχομαι.» «Βάδιζέ νυν.» Κᾆθ’ ὁ μὲν ἔτριβε κεδρίδας, ἄννηθον, σφάκον· ἐγὼ δὲ καταχέασα τοῦ στροφέως ὕδωρ ἐξῆλθον ὡς τὸν μοιχόν· εἶτ’ ἠρειδόμην παρὰ τὸν Ἀγυιᾶ κῦβδ’, ἐχομένη τῆς δάφνης.

Ταῦτ’ οὐδεπώποτ’ εἶφ’, ὁρᾶτ’, Εὐριπίδης· οὐδ’ ὡς ὑπὸ τῶν δούλων τε κὠρεωκόμων σποδούμεθ’, ἢν μὴ ’χωμεν ἕτερον, οὐ λέγει· οὐδ’ ὡς ὅταν μάλισθ’ ὑπό του ληκώμεθα τὴν νύχθ’, ἕωθεν σκόροδα διαμασώμεθα,

ἵν’ ὀσφρόμενος ἁνὴρ ἀπὸ τείχους εἰσιὼν μηδὲν κακὸν δρᾶν ὑποτοπῆται. Ταῦθ’, ὁρᾷς, οὐπώποτ’ εἶπεν. Εἰ δὲ Φαίδραν λοιδορεῖ, ἡμῖν τί τοῦτ’ ἔστ’; Οὐδ’ ἐκεῖν’ εἴρηκέ πω, ὡς ἡ γυνὴ δεικνῦσα τἀνδρὶ τοὔγκυκλον

〈ἰδεῖν〉 ὑπ’ αὐγὰς οἷον, ἐγκεκαλυμμένον τὸν μοιχὸν ἐξέπεμψεν, οὐκ εἴρηκέ πω. Ἑτέραν δ’ ἐγῷδ’ ἣ ’φασκεν ὠδίνειν γυνὴ

δέχ’ ἡμέρας, ἕως ἐπρίατο παιδίον. Ὁ δ’ ἀνὴρ περιήρχετ’ ὠκυτόκι’ ὠνούμενος·

τὸ δ’ εἰσέφερε γραῦς ἐν χύτρᾳ, τὸ παιδίον, ἵνα μὴ βοῴη, κηρίῳ βεβυσμένον. Εἶθ’ ὡς ἔνευσεν ἡ φέρους’, εὐθὺς βοᾷ· «Ἄπελθ’ ἄπελθ’, ἤδη γάρ, ὦνέρ, μοι δοκῶ τέξειν.» Τὸ γὰρ ἦτρον τῆς χύτρας ἐλάκτισεν.

Χὠ μὲν γεγηθὼς ἔτρεχεν, ἡ δ’ ἐξέσπασεν ἐκ τοῦ στόματος τοῦ παιδίου, τὸ δ’ ἀνέκραγεν. Εἶθ’ ἡ μιαρὰ γραῦς, ἣ ’φερεν τὸ παιδίον, θεῖ μειδιῶσα πρὸς τὸν ἄνδρα καὶ λέγει· «Λέων λέων σοι γέγονεν, αὐτέκμαγμα σόν,

τά τ’ ἄλλ’ ἁπαξάπαντα καὶ τὸ πόσθιον τῷ σῷ προσόμοιον, στρεβλὸν ὥσπερ κύτταρον.» Ταῦτ’ οὐ ποιοῦμεν τὰ κακά; Νὴ τὴν Ἄρτεμιν ἡμεῖς γε. Κᾆτ’ Εὐριπίδῃ θυμούμεθα, οὐδὲν παθοῦσαι μεῖζον ἢ δεδράκαμεν;

**ΧΟΡΟΣ**

Τουτὶ μέντοι θαυμαστόν, ὁπόθεν ηὑρέθη τὸ χρῆμα, χἤτις ἐξέθρεψε χώρα τήνδε τὴν θρασεῖαν οὕτω. Τάδε γὰρ εἰπεῖν τὴν πανοῦργον

κατὰ τὸ φανερὸν ὧδ’ ἀναιδῶς οὐκ ἂν ᾠόμην ἐν ἡμῖν οὐδὲ τολμῆσαί ποτ’ ἄν. Ἀλλὰ πᾶν γένοιτ’ ἂν ἤδη. Τὴν παροιμίαν δ’ ἐπαινῶ

τὴν παλαιάν· ὑπὸ λίθῳ γὰρ

παντί που χρὴ

μὴ δάκῃ ῥήτωρ ἀθρεῖν. Ἀλλ’ οὐ γάρ ἐστι τῶν ἀναισχύντων φύσει γυναικῶν οὐδὲν κάκιον εἰς ἅπαντα πλὴν ἄρ’ εἰ γυναῖκες.

Οὔ τοι μὰ τὴν Ἄγλαυρον, ὦ γυναῖκες, εὖ φρονεῖτε, ἀλλ’ ἢ πεφάρμαχθ’ ἢ κακόν τι μέγα πεπόνθατ’ ἄλλο,

ταύτην ἐῶσαι τὴν φθόρον τοιαῦτα περιυβρίζειν ἡμᾶς ἁπάσας. Εἰ μὲν οὖν τις ἔστιν … —, εἰ δὲ μή, ἡμεῖς αὐταί τε καὶ τὰ δουλάρια τέφραν ποθὲν λαβοῦσαι ταύτης ἀποψιλώσομεν τὸν χοῖρον, ἵνα διδαχθῇ γυνὴ γυναῖκας οὖσα μὴ κακῶς λέγειν τὸ λοιπόν.

**ΚΗΔΕΣΤΗΣ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μὴ δῆτα τόν γε χοῖρον, ὦ γυναῖκες. Εἰ γὰρ οὔσης παρρησίας κἀξὸν λέγειν ὅσαι πάρεσμεν ἀσταί, εἶτ' εἶπον ἁγίγνωσκον ὑπὲρ Εὐριπίδου δίκαια, διὰ τοῦτο τιλλομένην με δεῖ δοῦναι δίκην ὑφ' ὑμῶν;

540 Οὐ γάρ σε δεῖ δοῦναι δίκην; ἥτις μόνη τέτληκας

545 ὑπὲρ ἀνδρὸς ἀντειπεῖν, ὃς ἡμᾶς πολλὰ κακὰ δέδρακεν ἐπίτηδες εὑρίσκων λόγους, ὅπου γυνὴ πονηρὰ ἐγένετο, Μελανίππας ποιῶν Φαίδρας τε· Πηνελόπην δὲ οὐπώποτ' ἐπόης', ὅτι γυνὴ σώφρων ἔδοξεν εἶναι.

545 Ἐγὼ γὰρ οἶδα ταἴτιον. Μίαν γὰρ οὐκ ἂν εἴποις

545 τῶν νῦν γυναικῶν Πηνελόπην, Φαίδρας ἁπαξαπάσας.

545 Ἀκούετ', ὦ γυναῖκες, οἷ' εἴρηκεν ἡ πανοῦργος ἡμᾶς ἁπάσας αὖθις αὖ.

552 Καὶ νὴ Δί' οὐδέπω γε εἴρηχ' ὅσα ξύνοιδ'· ἐπεὶ βούλεσθε πλείον' εἴπω;

552 Ἀλλ' οὐκ ἂν ἔτ' ἔχοις· ὅσα γὰρ ᾔδησθ' ἐξέχεας ἅπαντα.

555 Μὰ Δί' οὐδέπω τὴν μυριοστὴν μοῖραν ὧν ποιοῦμεν. Ἐπεὶ τάδ' οὐκ εἴρηχ', ὁρᾷς, ὡς στλεγγίδας λαβοῦσαι ἔπειτα σιφωνίζομεν τὸν οἶνον—

557 Ἐπιτριβείης.

557 ὥς τ' αὖ τὰ κρέ' ἐξ Ἀπατουρίων ταῖς μαστροποῖς διδοῦσαι ἔπειτα τὴν γαλῆν φαμεν—

559 Τάλαιν' ἐγώ· φλυαρεῖς.

560 Οὐδ' ὡς ἑτέρα τὸν ἄνδρα τῷ πελέκει κατεσπόδησεν, οὐκ εἶπον· οὐδ' ὡς φαρμάκοις ἑτέρα τὸν ἄνδρ' ἔμηνεν, οὐδ' ὡς ὑπὸ τῇ πυέλῳ κατώρυξέν ποτ'—

562 Ἐξόλοιο.

562 Ἀχαρνικὴ τὸν πατέρα.

563 Ταῦτα δῆτ' ἀνέκτ' ἀκούειν;

563 Οὐδ' ὡς σὺ τῆς δούλης τεκούσης ἄρρεν εἶτα σαυτῇ

565 τοῦθ' ὑπεβάλου, τὸ σὸν δὲ θυγάτριον παρῆκας αὐτῇ.

565 Οὔ τοι μὰ τὼ θεὼ σὺ καταπροίξει λέγουσα ταυτί, ἀλλ' ἐκποκιῶ σου τὰς ποκάδας.

567 Οὔ τοι μὰ Δία σύ γ' ἅψει.

567 Καὶ μὴν ἰδού.

568 Καὶ μὴν ἰδού.

568 Λαβὲ θοἰμάτιον, Φιλίστη.

568 Πρόσθιγε μόνον, κἀγώ σε νὴ τὴν Ἄρτεμιν—

569 Τί δράσεις;

570 τὸν σησαμοῦνθ' ὃν κατέφαγες, τοῦτον χεσεῖν ποήσω.

**ΧΟΡΟΣ**

570 Παύσασθε λοιδορούμεναι· καὶ γὰρ γυνή τις ἡμῖν ἐσπουδακυῖα προστρέχει. Πρὶν οὖν ὁμοῦ γενέσθαι,

570 σιγᾶθ', ἵν' αὐτῆς κοσμίως πυθώμεθ' ἅττα λέξει.

**ΚΛΕΙΣΘΕΝΗΣ**

574 Φίλαι γυναῖκες, ξυγγενεῖς τοὐμοῦ τρόπου,

575

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅτι μὲν φίλος εἴμ’ ὑμῖν, ἐπίδηλος ταῖς γνάθοις. Γυναικομανῶ γὰρ προξενῶ θ’ ὑμῶν ἀεί. Καὶ νῦν ἀκούσας πρᾶγμα περὶ ὑμῶν μέγα ὀλίγῳ τι πρότερον κατ’ ἀγορὰν λαλούμενον, ἥκω φράσων τοῦτ’ ἀγγελῶν θ’ ὑμῖν, ἵνα

σκοπῆτε καὶ τηρῆτε μὴ καὶ προσπέσῃ ὑμῖν ἀφράκτοις πρᾶγμα δεινὸν καὶ μέγα.

**ΧΟΡΟΣ**

Τί δ’ ἐστίν, ὦ παῖ; Παῖδα γάρ ς’ εἰκὸς καλεῖν, ἕως ἂν οὕτως τὰς γνάθους ψιλὰς ἔχῃς.

**ΚΛΕΙΣΘΕΝΗΣ**

Εὐριπίδην φάς’ ἄνδρα κηδεστήν τινα
αὑτοῦ γέροντα δεῦρ’ ἀναπέμψαι τήμερον.

**ΧΟΡΟΣ**

Πρὸς ποῖον ἔργον ἢ τίνος γνώμης χάριν;

**ΚΛΕΙΣΘΕΝΗΣ**

Ἵν’ ἅττα βουλεύοισθε καὶ μέλλοιτε δρᾶν, ἐκεῖνος εἴη τῶν λόγων κατάσκοπος.

**ΧΟΡΟΣ**

Καὶ πῶς λέληθεν ἐν γυναιξὶν ὢν ἀνήρ;

**ΚΛΕΙΣΘΕΝΗΣ**

Ἀφηῦσεν αὐτὸν κἀπέτιλ’ Εὐριπίδης καὶ τἄλλ’ ἅπανθ’ ὥσπερ γυναῖκ’ ἐσκεύασεν.

**ΚΗΔΕΣΤΗΣ**

Πείθεσθε τούτῳ ταῦτα; Τίς δ’ οὕτως ἀνὴρ ἠλίθιος ὅστις τιλλόμενος ἠνείχετο; Οὐκ οἴομαι ’γωγ’, ὦ πολυτιμήτω θεώ.

**ΚΛΕΙΣΘΕΝΗΣ**

Ληρεῖς. Ἐγὼ γὰρ οὐκ ἂν ἦλθον ἀγγελῶν, εἰ μὴ ’πεπύσμην ταῦτα τῶν σάφ’ εἰδότων.

**ΧΟΡΟΣ**

Τὸ πρᾶγμα τουτὶ δεινὸν εἰσαγγέλλεται. Ἀλλ’, ὦ γυναῖκες, οὐκ ἐλινύειν ἐχρῆν,
ἀλλὰ σκοπεῖν τὸν ἄνδρα καὶ ζητεῖν ὅπου
λέληθεν ἡμᾶς κρυπτὸς ἐγκαθήμενος. Καὶ σὺ ξυνέξευρ’ αὐτόν, ὡς ἂν τὴν χάριν ταύτην τε κἀκείνην ἔχῃς, ὦ πρόξενε.

**ΚΛΕΙΣΘΕΝΗΣ**

Φέρ’ ἴδω, τίς εἶ πρώτη σύ;

**ΚΗΔΕΣΤΗΣ**

Ποῖ τις τρέψεται;

**ΚΛΕΙΣΘΕΝΗΣ**

Ζητητέαι γάρ ἐστε.

**ΚΗΔΕΣΤΗΣ**

Κακοδαίμων ἐγώ.

605 Ἔμ’ ἥτις 〈εἴμ’〉 ἤρου; Κλεωνύμου γυνή.

**ΚΛΕΙΣΘΕΝΗΣ**

605 Γιγνώσκεθ’ ὑμεῖς ἥτις ἔσθ’ ἡδὶ γυνή;

**ΧΟΡΟΣ**

605 Γιγνώσκομεν δῆτ’· ἀλλὰ τὰς ἄλλας ἄθρει.

**ΚΛΕΙΣΘΕΝΗΣ**

605 Ἡδὶ δὲ δὴ τίς ἐστιν, ἡ τὸ παιδίον ἔχουσα;

609 Τίτθη νὴ Δί’ ἐμή.

**ΚΗΔΕΣΤΗΣ**

609 Διοίχομαι.

**ΚΛΕΙΣΘΕΝΗΣ**

610 Αὕτη σύ, ποῖ στρέφει; μέν’ αὐτοῦ. Τί τὸ κακόν;

**ΚΗΔΕΣΤΗΣ**

610 Ἔασον οὐρῆσαί μ’· ἀναίσχυντός 〈τισ〉 εἶ.

**ΚΛΕΙΣΘΕΝΗΣ**

610 Σὺ δ’ οὖν πόει τοῦτ’. Ἀναμενῶ γὰρ ἐνθάδε.

**ΧΟΡΟΣ**

610 Ἀνάμενε δῆτα καὶ σκόπει γ’ αὐτὴν σφόδρα· μόνην γὰρ αὐτήν, ὦνερ, οὐ γιγνώσκομεν.

**ΚΛΕΙΣΘΕΝΗΣ**

615 Πολύν γε χρόνον οὐρεῖς σύ.

**ΚΗΔΕΣΤΗΣ**

615 Νὴ Δί’, ὦ μέλε, στραγγουριῶ γάρ· ἐχθὲς ἔφαγον κάρδαμα.

**ΚΛΕΙΣΘΕΝΗΣ**

615 Τί καρδαμίζεις; Οὐ βαδιεῖ δεῦρ’ ὡς ἐμέ;

**ΚΗΔΕΣΤΗΣ**

615 Τί δῆτά μ’ ἕλκεις ἀσθενοῦσαν;

**ΚΛΕΙΣΘΕΝΗΣ**

618 Εἰπέ μοι, τίς ἐστ’ ἀνήρ σοι;

**ΚΗΔΕΣΤΗΣ**

619 Τὸν ἐμὸν ἄνδρα πυνθάνει;

620 Τὸν δεῖνα γιγνώσκεις, τὸν ἐκ Κοθωκιδῶν;

**ΚΛΕΙΣΘΕΝΗΣ**

620 Τὸν δεῖνα; ποῖον;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΚΗΔΕΣΤΗΣ**

621 Ἔσθ’ ὁ δεῖν’, ὃς καί ποτε τὸν δεῖνα, τὸν τοῦ δεῖνα—

**ΚΛΕΙΣΘΕΝΗΣ**

622 Ληρεῖν μοι δοκεῖς. Ἀνῆλθες ἤδη δεῦρο πρότερον;

**ΚΗΔΕΣΤΗΣ**

623 Νὴ Δία ὁσέτη γε.

**ΚΛΕΙΣΘΕΝΗΣ**

624 Καὶ τίς σοὐστὶ συσκηνήτρια;

**ΚΗΔΕΣΤΗΣ**

625 Ἡ δεῖν’ ἔμοιγ’. Οἴμοι τάλας.

**ΚΛΕΙΣΘΕΝΗΣ**

625 Οὐδὲν λέγεις.

625 Ἄπελθ’. Ἐγὼ γὰρ βασανιῶ ταύτην καλῶς ἐκ τῶν ἱερῶν τῶν πέρυσι. Σὺ δ’ ἀπόστηθί μοι, ἵνα μὴ ’πακούσῃς ὢν ἀνήρ. Σὺ δ’ εἰπέ μοι ὅ τι πρῶτον ἡμῖν τῶν ἱερῶν ἐδείκνυτο.

**ΚΗΔΕΣΤΗΣ**

630 Φέρ’ ἴδω, τί μέντοι πρῶτον ἦν; Ἐπίνομεν.

630 Τί δὲ μετὰ τοῦτο δεύτερον;

631 Προὐπίνομεν.

631 Ταυτὶ μὲν ἤκουσάς τινος. Τί δαὶ τρίτον;

631 Σκάφιον Ξένυλλ’ ᾔτησεν· οὐ γὰρ ἦν ἁμίς.

631 Οὐδὲν λέγεις. Δεῦρ’ ἐλθέ, δεῦρ’, ὦ Κλείσθενες.

635 Ὅδ’ ἐστὶν ἁνὴρ ὃν λέγεις.

**ΚΛΕΙΣΘΕΝΗΣ**

635 Τί οὖν ποιῶ;

635 Ἀπόδυσον αὐτόν· οὐδὲν ὑγιὲς γὰρ λέγει.

**ΚΗΔΕΣΤΗΣ**

635 Κἄπειτ’ ἀποδύσετ’ ἐννέα παίδων μητέρα;

**ΚΛΕΙΣΘΕΝΗΣ**

635 Χάλα ταχέως τὸ στρόφιον, ὦναίσχυντε σύ.

635 Ὡς καὶ στιβαρά τις φαίνεται καὶ καρτερά·

640 καὶ νὴ Δία τιτθούς γ’ ὥσπερ ἡμεῖς οὐκ ἔχει.

**ΚΗΔΕΣΤΗΣ**

640 Στερίφη γάρ εἰμι κοὐκ ἐκύησα πώποτε.

640 Νῦν· τότε δὲ μήτηρ ἦσθα παίδων ἐννέα.

**ΚΛΕΙΣΘΕΝΗΣ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

640 Ἀνίστας’ ὀρθός. Ποῖ τὸ πέος ὠθεῖς κάτω;

640 Τοδὶ διέκυψε καὶ μάλ’ εὔχρων, ὦ τάλαν.

645 Καὶ ποῦ ’στιν;

645 Αὖθις εἰς τὸ πρόσθεν οἴχεται.

645 Οὐκ ἐγγεταυθί.

646 Μἀλλὰ δεῦρ’ ἥκει πάλιν.

646 Ἰσθμόν τιν’ ἔχεις, ἄνθρωπ’· ἄνω τε καὶ κάτω τὸ πέος διέλκεις πυκνότερον Κορινθίων.

646 Ὦ μιαρὸς οὗτος. Ταῦτ’ ἄρ’ ὑπὲρ Εὐριπίδου

646 ἡμῖν ἐλοιδορεῖτο.

**ΚΗΔΕΣΤΗΣ**

646 Κακοδαίμων ἐγώ, εἰς οἷ’ ἐμαυτὸν εἰσεκύλισα πράγματα.

646 Ἄγε δή, τί δρῶμεν;

**ΚΛΕΙΣΘΕΝΗΣ**

652 Τουτονὶ φυλάττετε καλῶς, ὅπως μὴ διαφυγὼν οἰχήσεται· ἐγὼ δὲ ταῦτα τοῖς πρυτάνεσιν ἀγγελῶ.

**ΧΟΡΟΣ**

655 Ἡμᾶς τοίνυν μετὰ τοῦτ’ ἤδη τὰς λαμπάδας ἁψαμένας χρὴ ξυζωσαμένας εὖ κἀνδρείως τῶν θ’ ἱματίων ἀποδύσας ζητεῖν, εἴ που κἄλλος τις ἀνὴρ ἐσελήλυθε, καὶ περιθρέξαι τὴν πύκνα πᾶσαν καὶ τὰς σκηνὰς καὶ τὰς διόδους διαθρῆσαι. Εἶα δὴ πρώτιστα μὲν χρὴ κοῦφον ἐξορμᾶν πόδα

660 καὶ διασκοπεῖν σιωπῇ πανταχῇ. Μόνον δὲ χρὴ μὴ βραδύνειν, ὡς ὁ καιρός ἐστι μὴ μέλλειν ἔτι. Ἀλλὰ τὴν πρώτην τρέχειν χρῆν ὡς τάχιστ’ ἤδη κύκλῳ.

662 Εἶά νυν ἴχνευε καὶ μά-

663-664 τευε ταχὺ πάντ’, εἴ τις ἐν τό-

664 ποις ἑδραῖος

664 ἄλλος αὖ λέληθεν ὤν.

665 Πανταχῇ δὲ ῥῖψον ὄμμα, καὶ τὰ τῇδε καὶ τὰ δεῦρο

666 πάντ’ ἀνασκόπει καλῶς.

666 Ἢν γάρ με λάθῃ δράσας ἀνόσια, δώσει τε δίκην καὶ πρὸς τούτῳ τοῖς ἄλλοις ἀνδράσιν ἔσται

670 παράδειγμ’ ὕβρεως ἀδίκων τ’ ἔργων ἀθέων τε τρόπων· φήσει δ’ εἶναί τε θεοὺς φανερῶς, δείξει τ’ ἤδη πᾶσιν ἀνθρώποις σεβίζειν δαίμονας

675 δικαίως τ’ ἐφέπειν ὅσια καὶ νόμιμα μηδομένους ποεῖν ὅ τι καλῶς ἔχει.

677-678 Κἂν μὴ ποιῶσι ταῦτα τοιάδ’ ἔσται·

679 αὐτῶν ὅταν ληφθῇ τις ὅσια 〈μὴ〉 δρῶν,

680 μανίαις φλέγων λύσσῃ παράκοπος εἴ τι δρῴη πᾶσιν ἐμφανὴς ὁρᾶν

682-683 ἔσται γυναιξὶ καὶ βροτοῖς

684-685 ὅτι τὰ παράνομα τά τ’ ἀνόσια

686 θεὸς παραχρῆμ’ ἀποτίνεται.

686

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀλλ’ ἔοιχ’ ἡμῖν ἅπαντά πως διεσκέφθαι καλῶς. Οὐχ ὁρῶμεν γοῦν ἔτ’ ἄλλον οὐδέν’ ἐγκαθήμενον.

Ἆ ποῖ σὺ φεύγεις; Οὗτος οὗτος, οὐ μενεῖς;

Τάλαιν’ ἐγώ, τάλαινα, καὶ τὸ παιδίον ἐξαρπάσας μοι φροῦδος ἀπὸ τοῦ τιτθίου.

**ΚΗΔΕΣΤΗΣ**

Κέκραχθι. Τοῦτο δ’ οὐδέποτε σὺ ψωμιεῖς, ἢν μή μ’ ἀφῆτ’· ἀλλ’ ἐνθάδ’ ἐπὶ τῶν μηρίων πληγὲν μαχαίρᾳ τῇδε φοινίας φλέβας

καθαιματώσει βωμόν.

Ὦ τάλαιν’ ἐγώ. Γυναῖκες, οὐκ ἀρήξετ’; Οὐ πολλὴν βοὴν στήσεσθε καὶ τροπαῖον, ἀλλὰ τοῦ μόνου τέκνου με περιόψεσθ’ ἀποστερουμένην;

**ΧΟΡΟΣ**

Ἔα ἔα.

Ὦ πότνιαι Μοῖραι, τί τόδε δέρκομαι νεοχμὸν αὖ τέρας; Ὡς ἅπαντ’ ἄρ’ ἐστὶ τόλμης ἔργα κἀναισχυντίας. Οἷον αὖ δέδρακεν ἔργον, οἷον αὖ, φίλαι, τόδε.

**ΚΗΔΕΣΤΗΣ**

Οἷον ὑμῶν ἐξαράξω τὴν ἄγαν αὐθαδίαν.

**ΧΟΡΟΣ**

Ταῦτα δῆτ’ οὐ δεινὰ πράγματ’ ἐστὶ καὶ περαιτέρω;

Δεινὰ δῆθ’, ὁτιή γ’ ἔχει μου ’ξαρπάσας τὸ παιδίον.

Τί ἂν οὖν εἴποι πρὸς ταῦτά τις, ὅτε τοιαῦτα ποιῶν ὅδ’ ἀναισχυντεῖ;

**ΚΗΔΕΣΤΗΣ**

Κοὔπω μέντοι γε πέπαυμαι.

**ΧΟΡΟΣ**

Ἀλλ’ οὖν ἥκων γ’ ὅθεν ἥκεις φαύλως τ’ ἀποδρὰς οὐ λέξεις
οἷον δράσας διέδυς ἔργον, λήψει δὲ κακόν.

**ΚΗΔΕΣΤΗΣ**

Τοῦτο μέντοι μὴ γένοιτο μηδαμῶς, ἀπεύχομαι.

**ΧΟΡΟΣ**

Τίς ἄν σοι, τίς ἂν σύμμαχος ἐκ θεῶν ἀθανάτων ἔλθοι ξὺν ἀδίκοις ἔργοις;

**ΚΗΔΕΣΤΗΣ**

Μάτην λαλεῖτε· τήνδ’ ἐγὼ οὐκ ἀφήσω.

**ΧΟΡΟΣ**

Ἀλλ’ οὐ μὰ τὼ θεὼ τάχ’ οὐ χαίρων ἴσως ἐνυβριεῖς
λόγους τε λέξεις ἀνοσίους. Ἀθέοις ἔργοις γὰρ ἀνταμει-
ψόμεσθά ς’, ὥσπερ εἰκός, ἀντὶ τῶνδε.
Ταχὺ δὲ μεταβαλοῦς’ ἐπὶ κακὸν ἑτερότρο-

Eulogikon public reading copy · View original HTML at eulogikon.org

725 πος ἐπέχει τύχη. Ἀλλὰ τάσδε μὲν λαβεῖν χρῆν ἐκφέρειν τε τῶν ξύλων, καὶ καταίθειν τὸν πανοῦργον πυρπολεῖν θ’ ὅσον τάχος.

725 Ἴωμεν ἐπὶ τὰς κληματίδας, ὦ Μανία. Κἀγώ ς’ ἀποδείξω θυμάλωπα τήμερον.

**ΚΗΔΕΣΤΗΣ**

730 Ὕφαπτε καὶ κάταιθε· σὺ δὲ τὸ Κρητικὸν ἀπόδυθι ταχέως. Τοῦ θανάτου δ’, ὦ παιδίον, μόνην γυναικῶν αἰτιῶ τὴν μητέρα. Τουτὶ τί ἐστιν; Ἀσκὸς ἐγένεθ’ ἡ κόρη οἴνου πλέως καὶ ταῦτα Περσικὰς ἔχων.

735 Ὦ θερμόταται γυναῖκες, ὦ ποτίσταται κἀκ παντὸς ὑμεῖς μηχανώμεναι πιεῖν, ὦ μέγα καπήλοις ἀγαθόν, ἡμῖν δ’ αὖ κακόν, κακὸν δὲ καὶ τοῖς σκευαρίοις καὶ τῇ κρόκῃ.

735 Παράβαλλε πολλὰς κληματίδας, ὦ Μανία.

740 Παράβαλλε δῆτα. Σὺ δ’ ἀπόκριναί μοι τοδί· Τουτὶ τεκεῖν φῄς;

741 〈Καὶ〉 δέκα μῆνας αὔτ’ ἐγὼ ἤνεγκον.

742 Ἤνεγκας σύ;

742 Νὴ τὴν Ἄρτεμιν.

742 Τρικότυλον ἢ πῶς; εἰπέ μοι.

743 Τί μ’ ἠργάσω; Ἀπέδυσας, ὦναίσχυντέ, μου τὸ παιδίον

745 τυννοῦτον ὄν.

745 Τυννοῦτο; Μικρὸν νὴ Δία. Πός’ ἔτη δὲ γέγονε; τρεῖς χοᾶς ἢ τέτταρας;

745 Σχεδὸν τοσοῦτον χὤσον ἐκ Διονυσίων. Ἀλλ’ ἀπόδος αὐτό.

748 Μὰ τὸν Ἀπόλλω τουτονί.

748 Ἐμπρήσομεν τοίνυν σε.

749 Πάνυ γ’· ἐμπίμπρατε.

749 Αὕτη δ’ ἀποσφαγήσεται μάλ’ αὐτίκα.

749 Μὴ δῆθ’, ἱκετεύω ς’· ἀλλ’ ἔμ’ ὅ τι χρῄζεις πόει ὑπέρ γε τούτου.

752 Φιλότεκνός τις εἶ φύσει. Ἀλλ’ οὐδὲν ἧττον ἥδ’ ἀποσφαγήσεται.

752 Οἴμοι, τέκνον. Δὸς τὸ σφαγεῖον, Μανία,

755 ἵν’ οὖν τό γ’ αἷμα τοῦ τέκνου τοὐμοῦ λάβω.

755 Ὕπεχ’ αὐτό· χαριοῦμαι γὰρ ἕν γε τοῦτό σοι.

755 Κακῶς ἀπόλοι’. Ὡς φθονερὸς εἶ καὶ δυσμενής.

755 Τουτὶ τὸ δέρμα τῆς ἱερείας γίγνεται.

755 Τί τῆς ἱερείας γίγνεται;

759 Τουτί. Λαβέ.

760 Ταλαντάτη Μίκα, τίς ἐξεκόρησέ σε; Τίς τὴν ἀγαπητὴν παῖδά σου ’ξηράσατο;

760 Ὁ πανοῦργος οὗτος. Ἀλλ’ ἐπειδήπερ πάρει, φύλαξον αὐτόν, ἵνα λαβοῦσα Κλεισθένη τοῖσιν πρυτάνεσιν ἃ πεπόηχ’ οὗτος φράσω.

765 Ἄγε δή, τίς ἔσται μηχανὴ σωτηρίας; Τίς πεῖρα, τίς ἐπίνοι’; Ὁ μὲν γὰρ αἴτιος κἄμ’ εἰσκυλίσας εἰς τοιαυτὶ πράγματα οὐ φαίνεταί πω. Φέρε, τίν’ οὖν 〈ἂν〉 ἄγγελον πέμψαιμ’ ἐπ’ αὐτόν; Οἶδ’ ἐγὼ καὶ δὴ πόρον

770

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκ τοῦ Παλαμήδους. Ὡς ἐκεῖνος, τὰς πλάτας ῥίψω γράφων. [Ἀλλ’ οὐ πάρεισιν αἱ πλάται.] Πόθεν οὖν γένοιντ’ ἄν μοι πλάται; [Πόθεν; 〈πόθεν;〉 ] Τί δ’ ἄν, εἰ ταδὶ τἀγάλματ’ ἀντὶ τῶν πλατῶν γράφων διαρρίπτοιμι; Βέλτιον πολύ.

Ξύλον γέ τοι καὶ ταῦτα, κἀκεῖν’ ἦν ξύλον.

Ὦ χεῖρες ἐμαί, 〈νῦν〉 ἐγχειρεῖν ἔργῳ πορίμῳ. Ἄγε δή, πινάκων ξεστῶν δέλτοι, δέξασθε σμίλης ὁλκούς,

κήρυκας ἐμῶν μόχθων. Οἴμοι, τουτὶ τὸ ῥῶ μοχθηρόν.

Χωρεῖ, χωρεῖ. Ποίαν αὔλακα; Βάσκετ’, ἐπείγετε πάσας καθ’ ὁδούς, κείνᾳ, ταύτᾳ· ταχέως χρή.

**ΧΟΡΟΣ**

Ἡμεῖς τοίνυν ἡμᾶς αὐτὰς εὖ λέξωμεν παραβᾶσαι. Καίτοι πᾶς τις τὸ γυναικεῖον φῦλον κακὰ πόλλ’ ἀγορεύει, ὡς πᾶν ἐσμὲν κακὸν ἀνθρώποις κἀξ ἡμῶν ἐστιν ἅπαντα, ἔριδες, νείκη, στάσις ἀργαλέα, λύπη, πόλεμος. Φέρε δή νυν, εἰ κακόν ἐσμεν, τί γαμεῖθ’ ἡμᾶς, εἴπερ ἀληθῶς κακόν ἐσμεν,

κἀπαγορεύετε μήτ’ ἐξελθεῖν μήτ’ ἐκκύψασαν ἁλῶναι, ἀλλ’ οὑτωσὶ πολλῇ σπουδῇ τὸ κακὸν βούλεσθε φυλάττειν; Κἂν ἐξέλθῃ τὸ γύναιόν ποι, κᾆθ’ εὕρητ’ αὐτὸ θύρασιν, μανίας μαίνεσθ’, οὓς χρῆν σπένδειν καὶ χαίρειν, εἴπερ ἀληθῶς ἔνδοθεν ηὕρετε φροῦδον τὸ κακὸν καὶ μὴ κατελαμβάνετ’ ἔνδον.

Κἂν καταδάρθωμεν ἐν ἀλλοτρίων παίζουσαι καὶ κοπιῶσαι, πᾶς τις τὸ κακὸν τοῦτο ζητεῖ περὶ τὰς κλίνας περινοστῶν. Κἂν ἐκ θυρίδος παρακύπτωμεν, τὸ κακὸν ζητεῖτε θεᾶσθαι· κἂν αἰσχυνθεῖς’ ἀναχωρήσῃ, πολὺ μᾶλλον πᾶς ἐπιθυμεῖ αὖθις τὸ κακὸν παρακύψαν ἰδεῖν. Οὕτως ἡμεῖς ἐπιδήλως

ὑμῶν ἐσμεν πολὺ βελτίους. Βάσανος δὲ πάρεστιν ἰδέσθαι. Βάσανον δῶμεν πότεροι χείρους. Ἡμεῖς μὲν γάρ φαμεν ὑμᾶς, ὑμεῖς δ’ ἡμᾶς. Σκεψώμεθα δὴ κἀντιτιθῶμεν πρὸς ἕκαστον, παραβάλλουσαι τῆς τε γυναικὸς καὶ τἀνδρὸς τοὔνομ’ ἑκάστου. Ναυσιμάχης μέν 〈γ’〉 ἥττων ἐστὶν Χαρμῖνος· δῆλα δὲ τἄργα.

Καὶ μὲν δὴ καὶ Κλεοφῶν χείρων πάντως δήπου Σαλαβακχοῦς. Πρὸς Ἀριστομάχην δὲ χρόνου πολλοῦ, πρὸς ἐκείνην τὴν Μαραθῶνι, καὶ Στρατονίκην ὑμῶν οὐδεὶς οὐδ’ ἐγχειρεῖ πολεμίζειν. Ἀλλ’ Εὐβούλης τῶν πέρυσίν τις βουλευτής ἐστιν ἀμείνων παραδοὺς ἑτέρῳ τὴν βουλείαν; Οὐδ’ Ἄνυτος τοῦτό γε φήσει.

Οὕτως ἡμεῖς πολὺ βελτίους τῶν ἀνδρῶν εὐχόμεθ’ εἶναι. Οὐδ’ ἂν κλέψασα γυνὴ ζεύγει κατὰ πεντήκοντα τάλαντα εἰς πόλιν ἔλθοι τῶν δημοσίων· ἀλλ’ ἢν τὰ μέγισθ’ ὑφέληται, φορμὸν πυρῶν τἀνδρὸς κλέψας’, αὐθημερὸν ἀνταπέδωκεν. Ἀλλ’ ἡμεῖς ἂν πολλοὺς τούτων

ἀποδείξαιμεν ταῦτα ποιοῦντας, καὶ πρὸς τούτοις γάστριδας ἡμῶν ὄντας μᾶλλον καὶ λωποδύτας καὶ βωμολόχους κἀνδραποδιστάς. Καὶ μὲν δήπου καὶ τὰ πατρῷά γε

χείρους ἡμῶν εἰσιν σῴζειν. Ἡμῖν μὲν γὰρ σῶν ἔτι καὶ νῦν τἀντίον, ὁ κανών, οἱ καλαθίσκοι, τὸ σκιάδειον· τοῖς δ’ ἡμετέροις ἀνδράσι τούτοις

ἀπόλωλεν μὲν πολλοῖς ὁ κανὼν ἐκ τῶν οἴκων αὐτῇ λόγχῃ, πολλοῖς δ’ ἑτέροις ἀπὸ τῶν ὤμων ἐν ταῖς στρατιαῖς ἔρριπται τὸ σκιάδειον.

Πόλλ’ ἂν αἱ γυναῖκες ἡμεῖς ἐν δίκῃ μεμψαίμεθ’ ἂν τοῖσιν ἀνδράσιν δικαίως, ἓν δ’ ὑπερφυέστατον. Χρῆν γάρ, ἡμῶν εἰ τέκοι τις ἄνδρα χρηστὸν τῇ πόλει, ταξίαρχον ἢ στρατηγόν, λαμβάνειν τιμήν τινα,

προεδρίαν τ’ αὐτῇ δίδοσθαι Στηνίοισι καὶ Σκίροις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔν τε ταῖς ἄλλαις ἑορταῖς αἷσιν ἡμεῖς ἤγομεν· εἰ δὲ δειλὸν καὶ πονηρὸν ἄνδρα τις τέκοι γυνή, ἢ τριήραρχον πονηρὸν ἢ κυβερνήτην κακόν, ὑστέραν αὐτὴν καθῆσθαι σκάφιον ἀποκεκαρμένην τῆς τὸν ἀνδρεῖον τεκούσης. Τῷ γὰρ εἰκός, ὦ πόλις,

τὴν Ὑπερβόλου καθῆσθαι μητέρ' ἠμφιεσμένην λευκὰ καὶ κόμας καθεῖσαν πλησίον τῆς Λαμάχου, καὶ δανείζειν χρήμαθ', ᾗ χρῆν, εἰ δανείσειέν τινι καὶ τόκον πράττοιτο, διδόναι μηδέν' ἀνθρώπων τόκον, ἀλλ' ἀφαιρεῖσθαι βίᾳ τὰ χρήματ' εἰπόντας τοδί·

«Ἀξία γοῦν εἶ τόκου τεκοῦσα τοιοῦτον τόκον.»

**ΚΗΔΕΣΤΗΣ**

Ἰλλὸς γεγένημαι προσδοκῶν· ὁ δ' οὐδέπω. Τί δῆτ' ἂν εἴη τοὐμποδών; Οὐκ ἔσθ' ὅπως οὐ τὸν Παλαμήδη ψυχρὸν ὄντ' αἰσχύνεται. Τῷ δῆτ' ἂν αὐτὸν προσαγαγοίμην δράματι;

Ἐγῷδα· τὴν καινὴν Ἑλένην μιμήσομαι. Πάντως ὑπάρχει μοι γυναικεία στολή.

Τί αὖ σὺ κυρκανᾷς; Τί κοικύλλεις ἔχων; Πικρὰν Ἑλένην ὄψει τάχ', εἰ μὴ κοσμίως ἕξεις, ἕως ἂν τῶν πρυτάνεών τις φανῇ.

Νείλου μὲν αἵδε καλλιπάρθενοι ῥοαί, ὃς ἀντὶ δίας ψακάδος Αἰγύπτου πέδον λευκῆς νοτίζει μελανοσυρμαίῳ λεῷ.

Πανοῦργος εἶ νὴ τὴν Ἑκάτην τὴν φωσφόρον.

Ἐμοὶ δὲ γῆ μὲν πατρὶς οὐκ ἀνώνυμος,

Σπάρτη, πατὴρ δὲ Τυνδάρεως.

Σοί γ', ὤλεθρε, πατὴρ ἐκεῖνός ἐστι; Φρυνώνδας μὲν οὖν.

Ἑλένη δ' ἐκλήθην.

Αὖθις αὖ γίγνει γυνή, πρὶν τῆς ἑτέρας δοῦναι γυναικίσεως δίκην;

Ψυχαὶ δὲ πολλαὶ δι' ἔμ' ἐπὶ Σκαμανδρίοις

ῥοαῖσιν ἔθανον.

Ὤφελες δὲ καὶ σύ γε.

Κἀγὼ μὲν ἐνθάδ' εἴμ'· ὁ δ' ἄθλιος πόσις οὑμὸς Μενέλεως οὐδέπω προσέρχεται. Τί οὖν ἔτι ζῶ;

Τῶν κοράκων πονηρίᾳ.

Ἀλλ' ὥσπερ αἰκάλλει τι καρδίαν ἐμήν·

μὴ ψεῦσον, ὦ Ζεῦ, τῆς ἐπιούσης ἐλπίδος.

**ΕΥΡΙΠΙΔΗΣ**

Τίς τῶνδ' ἐρυμνῶν δωμάτων ἔχει κράτος, ὅστις ξένους δέξαιτο ποντίῳ σάλῳ καμόντας ἐν χειμῶνι καὶ ναυαγίαις;

**ΚΗΔΕΣΤΗΣ**

Πρωτέως τάδ' ἐστὶ μέλαθρα.

Ποίου Πρωτέως,

ὦ τρισκακόδαιμον; Ψεύδεται νὴ τὼ θεώ, ἐπεὶ τέθνηκε Πρωτέας ἔτη δέκα.

**ΕΥΡΙΠΙΔΗΣ**

Ποίαν δὲ χώραν εἰσεκέλσαμεν σκάφει;

**ΚΗΔΕΣΤΗΣ**

875 Αἴγυπτον.

**ΕΥΡΙΠΙΔΗΣ**

878 Ὦ δύστηνος, οἷ πεπλώκαμεν.

878 Πείθει τι τῷ 〈κακῷ〉 κακῶς ἀπολουμένῳ

880 ληροῦντι λῆρον; Θεσμοφορεῖον τουτογί.

880 Αὐτὸς δὲ Πρωτεὺς ἔνδον ἔστ' ἢ 'ξώπιος;

880 Οὐκ ἔσθ' ὅπως οὐ ναυτιᾷς ἔτ', ὦ ξένε, ὅστις 〈γ'〉 ἀκούσας ὅτι τέθνηκε Πρωτέας ἔπειτ' ἐρωτᾷς· «Ἔνδον ἔστ' ἢ 'ξώπιος;»

885 Αἰαῖ, τέθνηκε. Ποῦ δ' ἐτυμβεύθη τάφῳ;

**ΚΗΔΕΣΤΗΣ**

885 Τόδ' ἐστὶν αὐτοῦ σῆμ', ἐφ' ᾧ καθήμεθα.

885 Κακῶς ἄρ' ἐξόλοιο, —κἀξολεῖ γέ τοι, — ὅστις γε τολμᾷς σῆμα τὸν βωμὸν καλεῖν.

**ΕΥΡΙΠΙΔΗΣ**

885 Τί δαὶ σὺ θάσσεις τάσδε τυμβήρεις ἕδρας

890 φάρει καλυπτός, ὦ ξένη;

**ΚΗΔΕΣΤΗΣ**

890 Βιάζομαι γάμοισι Πρωτέως παιδὶ συμμεῖξαι λέχος.

890 Τί, ὦ κακόδαιμον, ἐξαπατᾷς αὖ τὸν ξένον; Οὗτος πανουργῶν δεῦρ' ἀνῆλθεν, ὦ ξένε, ὡς τὰς γυναῖκας ἐπὶ κλοπῇ τοῦ χρυσίου.

895 Βάυζε τοὐμὸν σῶμα βάλλουσα ψόγῳ.

**ΕΥΡΙΠΙΔΗΣ**

895 Ξένη, τίς ἡ γραῦς ἡ κακορροθοῦσά σε;

**ΚΗΔΕΣΤΗΣ**

895 Αὕτη Θεονόη Πρωτέως.

897 Μὰ τὼ θεώ, εἰ μὴ Κρίτυλλά γ' Ἀντιθέου Γαργηττόθεν. Σὺ δ' εἶ πανοῦργος.

899 Ὁπόσα τοι βούλει λέγε.

899 Οὐ γὰρ γαμοῦμαι σῷ κασιγνήτῳ ποτὲ προδοῦσα Μενέλεων τὸν ἐμὸν ἐν Τροίᾳ πόσιν.

**ΕΥΡΙΠΙΔΗΣ**

899 Γύναι, τί εἶπας; Στρέψον ἀνταυγεῖς κόρας.

**ΚΗΔΕΣΤΗΣ**

899 Αἰσχύνομαί σε τὰς γνάθους ὑβρισμένη.

**ΕΥΡΙΠΙΔΗΣ**

899 Τουτὶ τί ἐστιν; Ἀφασία τίς τοί μ' ἔχει.

905 Ὦ θεοί, τίν' ὄψιν εἰσορῶ; Τίς εἶ, γύναι;

**ΚΗΔΕΣΤΗΣ**

905 Σὺ δ' εἶ τίς; Αὐτὸς γὰρ σὲ κἄμ' ἔχει λόγος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΕΥΡΙΠΙΔΗΣ**

905 Ἑλληνὶς εἶ τις ἢ ’πιχωρία γυνή;

**ΚΗΔΕΣΤΗΣ**

905 Ἑλληνίς. Ἀλλὰ καὶ τὸ σὸν θέλω μαθεῖν.

**ΕΥΡΙΠΙΔΗΣ**

905 Ἑλένῃ σ’ ὁμοίαν δὴ μάλιστ’ εἶδον, γύναι.

**ΚΗΔΕΣΤΗΣ**

910 Ἐγὼ δὲ Μενελέῳ σ’, ὅσα γ’ ἐκ τῶν ἰφύων.

**ΕΥΡΙΠΙΔΗΣ**

910 Ἔγνως ἄρ’ ὀρθῶς ἄνδρα δυστυχέστατον.

**ΚΗΔΕΣΤΗΣ**

910 Ὦ χρόνιος ἐλθὼν σῆς δάμαρτος ἐς χέρας,
913–914 λαβέ με, λαβέ με, πόσι, περίβαλε δὲ χέρας.
915 Φέρε, σὲ κύσω. Ἄπαγέ μ’ ἄπαγ’ ἄπαγ’ ἄπαγέ με λαβὼν ταχὺ πάνυ.
916 Κλαύσετ’ ἄρα νὴ τὼ θεὼ ὅστις σ’ ἀπάξει τυπτόμενος τῇ λαμπάδι.

**ΕΥΡΙΠΙΔΗΣ**

916 Σὺ τὴν ἐμὴν γυναῖκα κωλύεις ἐμέ, τὴν Τυνδάρειον παῖδ’, ἐπὶ Σπάρτην ἄγειν;

920 Οἴμ’ ὡς πανοῦργος καὐτὸς εἶναί μοι δοκεῖς καὶ τοῦδέ τις ξύμβουλος. Οὐκ ἐτὸς πάλαι ᾐγυπτιάζετ’. Ἀλλ’ ὅδε μὲν δώσει δίκην· προσέρχεται γὰρ ὁ πρύτανις χὠ τοξότης.

920 Τουτὶ πονηρόν. Ἀλλ’ ὑπαποκινητέον.

**ΚΗΔΕΣΤΗΣ**

925 Ἐγὼ δ’ ὁ κακοδαίμων τί δρῶ;

**ΕΥΡΙΠΙΔΗΣ**

925 Μέν’ ἥσυχος. Οὐ γὰρ προδώσω σ’ οὐδέποτ’, ἤνπερ ἐμπνέω, ἢν μὴ προλίπωσ’ αἱ μυρίαι με μηχαναί.

**ΚΗΔΕΣΤΗΣ**

925 Αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν.

**ΠΡΥΤΑΝΙΣ**

929 Ὅδ’ ἔσθ’ ὁ πανοῦργος ὃν ἔλεγ’ ἡμῖν Κλεισθένης;

930 Οὗτος, τί κύπτεις; Δῆσον αὐτὸν εἰσάγων, ὦ τοξότ’, ἐν τῇ σανίδι, κἄπειτ’ ἐνθαδὶ στήσας φύλαττε καὶ προσιέναι μηδένα ἔα πρὸς αὐτόν, ἀλλὰ τὴν μάστιγ’ ἔχων παῖ’, ἢν προσίῃ τις.
934 Νὴ Δί’ ὡς νυνδή γ’ ἀνὴρ
935 ὀλίγου μ’ ἀφείλετ’ αὐτὸν ἱστιορράφος.

**ΚΗΔΕΣΤΗΣ**

935

Ὦ πρύτανι, πρὸς τῆς δεξιᾶς, ἥνπερ φιλεῖς κοίλην προτείνειν ἀργύριον ἤν τις διδῷ, χάρισαι βραχύ τί μοι καίπερ ἀποθανουμένῳ.

**ΠΡΥΤΑΝΙΣ**

935 Τί σοι χαρίσωμαι;

**ΚΗΔΕΣΤΗΣ**

939 Γυμνὸν ἀποδύσαντά με

940 κέλευε πρὸς τῇ σανίδι δεῖν τὸν τοξότην, ἵνα μὴ ’ν κροκωτοῖς καὶ μίτραις γέρων ἀνὴρ γέλωτα παρέχω τοῖς κόραξιν ἑστιῶν.

**ΠΡΥΤΑΝΙΣ**

940 Ἔχοντα ταῦτ’ ἔδοξε τῇ βουλῇ σε δεῖν, ἵνα τοῖς παριοῦσι δῆλος ᾖς πανοῦργος ὤν.

**ΚΗΔΕΣΤΗΣ**

945 Ἰατταταιάξ. Ὦ κροκώθ’, οἷ’ εἴργασαι. Κοὐκ ἔστ’ ἔτ’ ἐλπὶς οὐδεμία σωτηρίας.

**ΧΟΡΟΣ**

946 Ἄγε νυν ἡμεῖς παίσωμεν ἅπερ νόμος ἐνθάδε ταῖσι γυναιξίν, ὅταν ὄργια σεμνὰ θεοῖν ἱεραῖς ὥραις ἀνέχωμεν, ἅπερ καὶ Παύσων σέβεται καὶ νηστεύει,

946 πολλάκις αὐτοῖν ἐκ τῶν ὡρῶν εἰς τὰς ὥρας ξυνεπευχόμενος τοιαῦτα μέλειν θάμ’ ἑαυτῷ.

953–954 Ὅρμα χώρει, κοῦφα ποσίν, ἄγ’ εἰς κύκλον,

955 χερὶ σύναπτε χέρ’, 〈ἱερᾶς〉 ῥυθμὸν χορείας

956–957 ὕπαγε πᾶσα. Βαῖνε καρπαλίμοιν ποδοῖν. Ἐπισκοπεῖν δὲ

958 πανταχῇ κυκλοῦσαν ὄμμα χρὴ χοροῦ κατάστασιν.

958 Ἅμα δὲ καὶ

960 γένος Ὀλυμπίων θεῶν μέλπε καὶ γέραιρε φωνῇ πᾶσα χορομανεῖ τρόπῳ.

960 Εἰ δέ τις προσδοκᾷ κακῶς ἐρεῖν

964–965 ἐν ἱερῷ γυναῖκά μ’ οὖσαν ἄνδρας, οὐκ ὀρθῶς φρονεῖ.

966 Ἀλλὰ χρῆν, ὥσπερ ἔργον, αὐτίκα πρῶτον εὐκύκλου χορείας εὐφυᾶ στῆσαι βάσιν.

968 Πρόβαινε ποσὶ τὸν Εὐλύραν

970 μέλπουσα καὶ τὴν τοξοφόρον Ἄρτεμιν, ἄνασσαν ἁγνήν. Χαῖρ’, ὦ Ἑκάεργε,

972 ὄπαζε δὲ νίκην. Ἥραν τε τὴν τελείαν μέλψωμεν ὥσπερ εἰκός,

975 ἣ πᾶσι τοῖς χοροῖσι συμπαίζει τε καὶ κλῇδας γάμου φυλάττει.

976 Ἑρμῆν τε νόμιον ἄντομαι καὶ Πᾶνα καὶ Νύμφας φίλας ἐπιγελάσαι προθύμως

980 ταῖς ἡμετέραισι

980 χαρέντα χορείαις. Ἔξαρχε δὴ προθύμως διπλῆν, χάριν χορείας. Παίσωμεν, ὦ γυναῖκες, οἷάπερ νόμος· νηστεύομεν δὲ πάντως.

985 Ἀλλ’ εἶα, πάλλ’, ἀνάστρεφ’ εὐρύθμῳ ποδί· τόρνευε πᾶσαν ᾠδήν. Ἡγοῦ δέ γ’ ὧδ’ αὐτός,

987 κισσοφόρε Βακχεῖε δέσποτ’· ἐγὼ δὲ κώμοις σὲ φιλοχόροισι μέλψω.

990 Σὺ Διός, ὦ Διόνυσε Βρόμιε, καὶ Σεμέλας παῖ, χωρεῖς τερπόμενος

992 κατ’ ὄρεα Νυμ-

992–993

φᾶν ἐρατοῖσιν ὕμνοις,
993b εὔιον εὔιον, εὐοῖ,
994 〈παννύχιοσ〉 ἀναχορεύων.
995 Ἀμφὶ δὲ συγκτυπεῖται Κιθαιρώνιος ἠχώ, μελάμφυλλά τ’ ὄρη δάσκια πετρώ-
998 δεις τε νάπαι βρέμονται· κύκλῳ δὲ περί σε κισσὸς
998 εὐπέταλος ἕλικι θάλλει.

**ΤΟΞΟΤΗΣ**

1001 Ἐνταῦτα νῦν οἰμῶξι πρὸς τὴν αἰτρίαν.

**ΚΗΔΕΣΤΗΣ**

1001 Ὦ τοξόθ’, ἱκετεύω σε—

**ΤΟΞΟΤΗΣ**

1002 Μή μ’ ἰκετεῦσι σύ.

**ΚΗΔΕΣΤΗΣ**

1002 χάλασον τὸν ἧλον.

**ΤΟΞΟΤΗΣ**

1003 Ἀλλὰ ταῦτα δρᾶς’ ἐγώ.

**ΚΗΔΕΣΤΗΣ**

1003 Οἴμοι κακοδαίμων, μᾶλλον ἐπικρούεις σύ γε.

**ΤΟΞΟΤΗΣ**

1005 Ἔτι μᾶλλο βοῦλις;

**ΚΗΔΕΣΤΗΣ**

1005 Ἀτταταῖ ἰατταταῖ· κακῶς ἀπόλοιο.

**ΤΟΞΟΤΗΣ**

1006 Σῖγα, κακόδαιμον γέρον. Πέρ’, ἐγὼ ’ξενέγκι πορμός, ἵνα πυλάξι σοι.

**ΚΗΔΕΣΤΗΣ**

1006 Ταυτὶ τὰ βέλτιστ’ ἀπολέλαυκ’ Εὐριπίδου. Ἔα· θεοί, Ζεῦ σῶτερ, εἰσὶν ἐλπίδες.
1010 Ἁνὴρ ἔοικεν οὐ προδώσειν, ἀλλά μοι σημεῖον ὑπεδήλωσε Περσεὺς ἐκδραμών, ὅτι δεῖ με γίγνεσθ’ Ἀνδρομέδαν. Πάντως δέ μοι τὰ δέσμ’ ὑπάρχει. Δῆλον οὖν 〈τοῦτ’〉 ἔσθ’ ὅτι ἥξει με σώσων. Οὐ γὰρ ἂν παρέπτετο.
1015 Φίλαι παρθένοι, φίλαι,
1015 πῶς ἂν ἀπέλθοιμι καὶ τὸν Σκύθην λάθοιμι;
1018–1019 Κλύεις, ὦ προσᾴδουσα τἄμ’ ἐν ἄντροις;
1020 Κατάνευσον, ἔασον ὡς τὴν γυναῖκά μ’ ἐλθεῖν. Ἄνοικτος ὅς μ’ ἔδησε, τὸν πολυπονώτατον βροτῶν. Μόλις δὲ γραῖαν ἀποφυγὼν
1025 σαπρὰν ἀπωλόμην ὅμως. Ὅδε γὰρ ὁ Σκύθης φύλαξ πάλαι ἐφεστὼς ὀλοὸν ἄφιλον ἐκρέμασεν κόραξι δεῖπνον. Ὁρᾷς, οὐ χοροῖσιν οὐδ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑφ’ ἡλίκων νεανίδων κημὸν ἕστηκ’ ἔχους’, ἀλλ’ ἐν πυκνοῖς δεσμοῖσιν ἐμπεπλεγμένη κήτει βορὰ Γλαυκέτῃ πρόκειμαι. Γαμηλίῳ μὲν οὐ ξὺν

παιῶνι, δεσμίῳ δὲ γοᾶσθέ μ’, ὦ γυναῖκες, ὡς μέλεα μὲν πέπονθα μέλεος, —ὢ τάλας ἐγώ, τάλας, — ἀπὸ δὲ συγγόνων ἄλλ’ ἄνομα

πάθεα, φῶτα λιτομένα,

πολυδάκρυτον Ἀίδα γόον φλέγουσα,

—αἰαῖ αἰαῖ, —

ὃς ἔμ’ ἀπεξύρησε πρῶτον, ὃς ἐμὲ κροκόεν τόδ’ ἐνέδυσεν·

ἐπὶ δὲ τοῖσδε τόδ’ ἀνέπεμψεν ἱερόν, ἔνθα γυναῖκες. Ἰὼ μοίρας ἄτεγκτε δαῖμον. Ὦ κατάρατος ἐγώ·

τίς ἐμὸν οὐκ ἐπόψεται πάθος ἀμέγαρτον ἐπὶ κακῶν παρουσίᾳ;

Εἴθε με πυρφόρος αἰθέρος ἀστὴρ τὸν δύσμορον ἐξολέσειεν. Οὐ γὰρ ἔτ’ ἀθανάταν φλόγα λεύσσειν ἐστὶν ἐμοὶ φίλον, ὡς ἐκρεμάσθην, λαιμότμητ’ ἄχη δαιμόνι’, αἰόλαν

νέκυσιν ἐπὶ πορείαν.

**ΕΥΡΙΠΙΔΗΣ**

Χαῖρ’, ὦ φίλη παῖ· τὸν δὲ πατέρα Κηφέα ὅς ς’ ἐξέθηκεν ἀπολέσειαν οἱ θεοί.

**ΚΗΔΕΣΤΗΣ**

Σὺ δ’ εἶ τίς ἥτις τοὐμὸν ᾤκτιρας πάθος;

**ΕΥΡΙΠΙΔΗΣ**

Ἠχώ, λόγων ἀντῳδὸς ἐπικοκκάστρια,

ἥπερ πέρυσιν ἐν τῷδε ταὐτῷ χωρίῳ Εὐριπίδῃ καὐτὴ ξυνηγωνιζόμην. Ἀλλ’, ὦ τέκνον, σὲ μὲν τὸ σαυτῆς χρὴ ποεῖν, κλάειν ἐλεινῶς.

**ΚΗΔΕΣΤΗΣ**

Σὲ δ’ ἐπικλάειν ὕστερον.

**ΕΥΡΙΠΙΔΗΣ**

Ἐμοὶ μελήσει ταῦτά γ’. Ἀλλ’ ἄρχου λόγων.

**ΚΗΔΕΣΤΗΣ**

Ὦ Νὺξ ἱερά,

ὡς μακρὸν ἵππευμα διώκεις ἀστεροειδέα νῶτα διφρεύους’

αἰθέρος ἱερᾶς τοῦ σεμνοτάτου δι’ Ὀλύμπου.

**ΕΥΡΙΠΙΔΗΣ**

Δι’ Ὀλύμπου.

**ΚΗΔΕΣΤΗΣ**

Τί ποτ’ Ἀνδρομέδα περίαλλα κακῶν μέρος ἐξέλαχον;

**ΕΥΡΙΠΙΔΗΣ**

Μέρος ἐξέλαχον;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΚΗΔΕΣΤΗΣ**

1071 Θανάτου τλήμων—

**ΕΥΡΙΠΙΔΗΣ**

1072 Θανάτου τλήμων.

**ΚΗΔΕΣΤΗΣ**

1072 Ἀπολεῖς μ’, ὦ γραῦ, στωμυλλομένη.

**ΕΥΡΙΠΙΔΗΣ**

1072 Στωμυλλομένη.

**ΚΗΔΕΣΤΗΣ**

1075 Νὴ Δί’ ὀχληρά γ’ εἰσήρρηκας λίαν.

**ΕΥΡΙΠΙΔΗΣ**

1076 Λίαν.

**ΚΗΔΕΣΤΗΣ**

1076 Ὦγάθ’, ἔασόν με μονῳδῆσαι, καὶ χαριεῖ μοι. Παῦσαι.

**ΕΥΡΙΠΙΔΗΣ**

1078 Παῦσαι.

**ΚΗΔΕΣΤΗΣ**

1078 Βάλλ’ ἐς κόρακας.

**ΕΥΡΙΠΙΔΗΣ**

1079 Βάλλ’ ἐς κόρακας.

**ΚΗΔΕΣΤΗΣ**

1080 Τί κακόν;

**ΕΥΡΙΠΙΔΗΣ**

1080 Τί κακόν;

**ΚΗΔΕΣΤΗΣ**

1080 Ληρεῖς.

**ΕΥΡΙΠΙΔΗΣ**

1080 Ληρεῖς.

**ΚΗΔΕΣΤΗΣ**

1080 Οἴμωζ’.

**ΕΥΡΙΠΙΔΗΣ**

1081 Οἴμωζ’.

**ΚΗΔΕΣΤΗΣ**

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὀτότυζ’.

**ΕΥΡΙΠΙΔΗΣ**

Ὀτότυζ’.

**ΤΟΞΟΤΗΣ**

Οὗτος, τί λαλεῖς;

**ΕΥΡΙΠΙΔΗΣ**

Οὗτος, τί λαλεῖς;

**ΤΟΞΟΤΗΣ**

Πρυτάνεις καλέσω.

**ΕΥΡΙΠΙΔΗΣ**

Πρυτάνεις καλέσω.

**ΤΟΞΟΤΗΣ**

Τί κακόν;

**ΕΥΡΙΠΙΔΗΣ**

Τί κακόν;

**ΤΟΞΟΤΗΣ**

Πότε τὸ πωνή;

**ΕΥΡΙΠΙΔΗΣ**

Πότε τὸ πωνή;

**ΤΟΞΟΤΗΣ**

Σὺ λαλεῖς;

**ΕΥΡΙΠΙΔΗΣ**

Σὺ λαλεῖς;

**ΤΟΞΟΤΗΣ**

Κλαῦς’ ἄρα.

**ΕΥΡΙΠΙΔΗΣ**

Κλαῦς’ ἄρα.

**ΤΟΞΟΤΗΣ**

Κἀγκάσκι μοι;

**ΕΥΡΙΠΙΔΗΣ**

Κἀγκάσκι μοι;

**ΚΗΔΕΣΤΗΣ**

Μὰ Δί’, ἀλλὰ γυνὴ πλησίον αὕτη.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΕΥΡΙΠΙΔΗΣ**

1090 Πλησίον αὕτη.

**ΤΟΞΟΤΗΣ**

1090 Ποῦ ’στ’ ἡ μιαρά;

**ΚΗΔΕΣΤΗΣ**

1092 Καὶ δὴ φεύγει.

**ΤΟΞΟΤΗΣ**

1092 Ποῖ ποῖ πεύγεις;

**ΕΥΡΙΠΙΔΗΣ**

1093 〈 Ποῖ ποῖ πεύγεις;〉

**ΤΟΞΟΤΗΣ**

1093 Οὐ καιρήσεις.

**ΕΥΡΙΠΙΔΗΣ**

1094 〈 Οὐ καιρήσεις.〉

**ΤΟΞΟΤΗΣ**

1095 Ἔτι γὰρ γρύζεις;

**ΕΥΡΙΠΙΔΗΣ**

1095 Ἔτι γὰρ γρύζεις;

**ΤΟΞΟΤΗΣ**

1095 Λαβὲ τὴ μιαρά.

**ΕΥΡΙΠΙΔΗΣ**

1096 Λαβὲ τὴ μιαρά.

**ΤΟΞΟΤΗΣ**

1096 Λάλο καὶ κατάρατο γύναικο.

**ΕΥΡΙΠΙΔΗΣ**

1098 Ὦ θεοί, τίν’ ἐς γῆν βαρβάρων ἀφίγμεθα ταχεῖ πεδίλῳ; Διὰ μέσου γὰρ αἰθέρος

1098 τέμνων κέλευθον πόδα τίθημ’ ὑπόπτερον Περσεὺς πρὸς Ἄργος ναυστολῶν τὸ Γοργόνος κάρα κομίζων.

**ΤΟΞΟΤΗΣ**

1102 Τί λέγι; Γόργονος πέρι τὸ γραμματέο σὺ τὴ κεπαλή;

**ΕΥΡΙΠΙΔΗΣ**

1103 Τὴν Γοργόνος ἔγωγέ φημι.

**ΤΟΞΟΤΗΣ**

1104 Γόργο τοι κἀγὼ λέγι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΕΥΡΙΠΙΔΗΣ**

1105 Ἔα, τιν’ ὄχθον τόνδ’ ὁρῶ καὶ παρθένον θεαῖς ὁμοίαν ναῦν ὅπως ὡρμισμένην;

**ΚΗΔΕΣΤΗΣ**

1105 Ὦ ξένε, κατοίκτιρόν με, τὴν παναθλίαν· λῦσόν με δεσμῶν.

**ΤΟΞΟΤΗΣ**

1108 Οὐκὶ μὴ λαλῆσι σύ. Κατάρατο, τολμᾷς ἀποτανουμένη λαλεῖς;

**ΕΥΡΙΠΙΔΗΣ**

1110 Ὦ παρθέν’, οἰκτίρω σε κρεμαμένην ὁρῶν.

**ΤΟΞΟΤΗΣ**

1110 Οὐ παρτέν’ ἐστίν, ἀλλ’ ἀμαρτωλὴ γέρων καὶ κλέπτο καὶ πανοῦργο.

**ΕΥΡΙΠΙΔΗΣ**

1112 Ληρεῖς, ὦ Σκύθα. Αὕτη γάρ ἐστιν Ἀνδρομέδα, παῖς Κηφέως.

**ΤΟΞΟΤΗΣ**

1112 Σκέψαι τὸ κύστο· μή τι μικκὸν παίνεται;

**ΕΥΡΙΠΙΔΗΣ**

1115 Φέρε δεῦρό μοι τὴν χεῖρ’, ἵν’ ἅψωμαι, κόρη. Φέρε, Σκύθ’· ἀνθρώποισι γὰρ νοσήματα
1115 ἅπασίν ἐστιν· ἐμὲ δὲ καὐτὸν τῆς κόρης ταύτης ἔρως εἴληφεν.

**ΤΟΞΟΤΗΣ**

1118 Οὐ ζηλῶσί σε. Ἀτὰρ εἰ τὸ πρωκτὸ δεῦρο περιεστραμμένον,
1120 οὐκ ἐπτόνησά ς’ αὐτὸ πυγίζεις ἄγων.

**ΕΥΡΙΠΙΔΗΣ**

1120 Τί δ’ οὐκ ἐᾷς λύσαντά μ’ αὐτήν, ὦ Σκύθα, πεσεῖν ἐς εὐνὴν καὶ γαμήλιον λέχος;

**ΤΟΞΟΤΗΣ**

1120 Εἰ σπόδρ’ ἐπιτυμεῖς τὴ γέροντο πυγίσο, τὴ σανίδο τρήσας ἐξόπιστο πρώκτισον.

**ΕΥΡΙΠΙΔΗΣ**

1125 Μὰ Δί’, ἀλλὰ λύσω δεσμά.

**ΤΟΞΟΤΗΣ**

1125 Μαστιγῶς’ ἄρα.

**ΕΥΡΙΠΙΔΗΣ**

1125 Καὶ μὴν ποήσω τοῦτο.

**ΤΟΞΟΤΗΣ**

1126 Τὸ κεπαλή ς’ ἄρα τὸ ξιπομάκαιραν ἀποκεκόψι τουτοΐ.

**ΕΥΡΙΠΙΔΗΣ**

1126

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Αἰαῖ· τί δράσω; Πρὸς τίνας στρεφθῶ λόγους; Ἀλλ' οὐκ ἂν ἐνδέξαιτο βάρβαρος φύσις.

1130 Σκαιοῖσι γάρ τοι καινὰ προσφέρων σοφὰ μάτην ἀναλίσκοις ἄν. Ἀλλ' ἄλλην τινὰ τούτῳ πρέπουσαν μηχανὴν προσοιστέον.

**ΤΟΞΟΤΗΣ**

1130 Μιαρὸς ἀλώπηξ, οἷον ἐπιτήκιζέ μοι.

**ΚΗΔΕΣΤΗΣ**

1130 Μέμνησο, Περσεῦ, μ' ὡς καταλείπεις ἀθλίαν.

**ΤΟΞΟΤΗΣ**

1135 Ἔτι γὰρ σὺ τὴ μάστιγαν ἐπιτυμεῖς λαβεῖν;

**ΧΟΡΟΣ**

1135 Παλλάδα τὴν φιλόχορον ἐμοὶ
1137-1138 δεῦρο καλεῖν νόμος εἰς χορόν,
1139 παρθένον ἄζυγα κούρην,
1140 ἣ πόλιν ἡμετέραν ἔχει καὶ κράτος φανερὸν μόνη κληδοῦχός τε καλεῖται.
1142 Φάνηθ', ὦ τυράννους στυγοῦς', ὥσπερ εἰκός.
1145 Δῆμός τοί σε καλεῖ γυναικῶν· ἔχουσα δέ μοι μόλοις εἰρήνην φιλέορτον.
1147 Ἥκετ' εὔφρονες, ἵλαοι, πότνιαι, ἄλσος ἐς ὑμέτερον,
1147 ἀνδράσιν οὐ θεμίτ' εἰσορᾶν
1151-1152 ὄργια σεμνὰ θεοῖν ἵνα λαμπάσι
1153 φαίνετον, ἄμβροτον ὄψιν.
1154-1155 Μόλετον, ἔλθετον, ἀντόμεθ', ὦ
1156 Θεσμοφόρω πολυποτνία. Εἰ πρότερόν ποτ' ἐπηκόω ἤλθετον, 〈καὶ〉 νῦν ἀφίκεσθον, ἱκετεύομεν, ἐνθάδ' ἡμῖν.

**ΕΥΡΙΠΙΔΗΣ**

1160 Γυναῖκες, εἰ βούλεσθε τὸν λοιπὸν χρόνον σπονδὰς ποήσασθαι πρὸς ἐμέ, νυνὶ πάρα, ἐφ' ᾧτ' ἀκοῦσαι μηδὲν ὑπ' ἐμοῦ μηδαμὰ κακὸν τὸ λοιπόν. Ταῦτ' ἐπικηρυκεύομαι.

**ΧΟΡΟΣ**

1160 Χρείᾳ δὲ ποίᾳ τόνδ' ἐπεισφέρεις λόγον;

**ΕΥΡΙΠΙΔΗΣ**

1165 Ὅδ' ἐστὶν ούν τῇ σανίδι κηδεστὴς ἐμός. Ἢν οὖν κομίσωμαι τοῦτον, οὐδὲν μή ποτε κακῶς ἀκούσητ'· ἢν δὲ μὴ πείθησθέ μοι,

1165 ἃ νῦν ὑποικουρεῖτε τοῖσιν ἀνδράσιν ἀπὸ τῆς στρατιᾶς παροῦσιν ὑμῶν διαβαλῶ.

**ΧΟΡΟΣ**

1170 Τὰ μὲν παρ' ἡμῖν ἴσθι σοι πεπεισμένα· τὸν βάρβαρον δὲ τοῦτον αὐτὸς πεῖθε σύ.

**ΕΥΡΙΠΙΔΗΣ**

1170

Ἐμὸν ἔργον ἐστίν· καὶ σόν, ὦλάφιον, ἅ σοι καθ’ ὁδὸν ἔφραζον ταῦτα μεμνῆσθαι ποεῖν. Πρῶτον μὲν οὖν δίελθε κἀνακάλπασον.

1175 Σὺ δ’, ὦ Τερηδών, ἐπαναφύσα Περσικόν.

**ΤΟΞΟΤΗΣ**

1175 Τί τὸ βόμβο τοῦτο; Κῶμό τις ἀνεγεῖρί μοι;

**ΕΥΡΙΠΙΔΗΣ**

1177 Ἡ παῖς ἔμελλε προμελετᾶν, ὦ τοξότα. Ὀρχησομένη γὰρ ἔρχεθ’ ὡς ἄνδρας τινάς.

**ΤΟΞΟΤΗΣ**

1177 Ὀρκῆσι καὶ μελετῆσι, οὐ κωλῦς’ ἐγώ.

1180 Ὠς ἐλαπρός, ὥσπερ ψύλλο κατὰ τὸ κῴδιο.

**ΕΥΡΙΠΙΔΗΣ**

1180 Φέρε θοἰμάτιον ἄνωθεν, ὦ τέκνον, τοδί· καθιζομένη δ’ ἐπὶ τοῖσι γόνασι τοῦ Σκύθου τὼ πόδε πρότεινον, ἵν’ ὑπολύσω.

**ΤΟΞΟΤΗΣ**

1183 Ναίκι, ναὶ κάτησο, κάτησο, ναίκι, ναίκι, τυγάτριον.

1185 Οἴμ’ ὡς στέριπο τὸ τιττί’, ὥσπερ γογγυλί.

**ΕΥΡΙΠΙΔΗΣ**

1185 Αὔλει σὺ θᾶττον· ἔτι δέδοικας τὸν Σκύθην;

**ΤΟΞΟΤΗΣ**

1185 Καλό γε τὸ πυγή. Κλαῦσι, ἢν μὴ ’νδον μένῃς. Εἶεν· καλὴ τὸ σκῆμα περὶ τὸ πόστιον.

**ΕΥΡΙΠΙΔΗΣ**

1185 Καλῶς ἔχει. Λαβὲ θοἰμάτιον· ὥρα ’στὶ νῷν

1190 ἤδη βαδίζειν.

**ΤΟΞΟΤΗΣ**

1190 Οὐκὶ πιλῆσι πρῶτά με;

**ΕΥΡΙΠΙΔΗΣ**

1190 Πάνυ γε· Φίλησον αὐτόν.

**ΤΟΞΟΤΗΣ**

1191 Ὂ 〈ὂ ὅ,〉 παπαπαπαῖ, ὡς γλυκερὸ τὸ γλῶσς’, ὥσπερ Ἀττικὸς μέλις. Τί οὐ κατεύδει παρ’ ἐμέ;

**ΕΥΡΙΠΙΔΗΣ**

1193 Χαῖρε, τοξότα· οὐ γὰρ γένοιτ’ ἂν τοῦτο.

**ΤΟΞΟΤΗΣ**

1194 Ναὶ 〈ναί,〉 γρᾴδιον,

1195 ἐμοὶ κάρισο σὺ τοῦτο.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΕΥΡΙΠΙΔΗΣ**

1195 Δώσεις οὖν δραχμήν;

**ΤΟΞΟΤΗΣ**

1195 Ναί, ναίκι, δῶσι.

**ΕΥΡΙΠΙΔΗΣ**

1196 Τἀργύριον τοίνυν φέρε.

**ΤΟΞΟΤΗΣ**

1196 Ἀλλ’ οὐκ ἔκὠδέν. Ἀλλὰ τὸ συβίνη λαβέ. Ἔπειτα κομίσι ς’ αὖτις. Ἀκολούτει, τέκνον. Σὺ δὲ τοῦτο τήρει τὴ γέροντο, γρᾴδιο.

1196 Ὄνομα δέ σοι τί ἐστιν;

**ΕΥΡΙΠΙΔΗΣ**

1196 Ἀρτεμισία.

**ΤΟΞΟΤΗΣ**

1196 Μεμνῆσι τοίνυν τοὔνομ’· Ἀρταμουξία.

**ΕΥΡΙΠΙΔΗΣ**

1196 Ἑρμῆ δόλιε, ταυτὶ μὲν ἔτι καλῶς ποεῖς. Σὺ μὲν οὖν ἀπότρεχε, παιδάριον, τουτὶ λαβών· ἐγὼ δὲ λύσω τόνδε. Σὺ δ’ ὅπως ἀνδρικῶς

1205 ὅταν λυθῇς τάχιστα φεύξει καὶ τενεῖς ὡς τὴν γυναῖκα καὶ τὰ παιδί’ οἴκαδε.

**ΚΗΔΕΣΤΗΣ**

1205 Ἐμοὶ μελήσει ταῦτά γ’, ἢν ἅπαξ λυθῶ.

**ΕΥΡΙΠΙΔΗΣ**

1205 Λέλυσο. Σὸν ἔργον, φεῦγε πρὶν τὸν τοξότην ἥκοντα καταλαβεῖν.

**ΚΗΔΕΣΤΗΣ**

1209 Ἐγὼ δὴ τοῦτο δρῶ.

**ΤΟΞΟΤΗΣ**

1210 Ὦ γρᾴδι’, ὡς καρίεντό σοι τὸ τυγάτριον κοὐ δύσκολ’, ἀλλὰ πρᾶο. Ποῦ τὸ γρᾴδιο; Οἴμ’ ὡς ἀπόλωλο. Ποῦ τὸ γέροντ’ ἐντευτενί; Ὦ γρᾴδι’, ὦ γρᾶ’. Οὐκ ἐπαινῶ, γρᾴδιο. Ἀρταμουξία.

1214 Διέβαλέ μοὐ γραῦς. Ἀπότρεκ’ ὡς τάκιστα σύ.

1215 Ὀρτῶς δὲ ⟨σὺ⟩ συβίνη· καταβεβίνησο γάρ. Οἴμοι,

1216 τί δρᾶσι; Ποῖ τὸ γρᾴδι’; Ἀρταμουξία.

**ΧΟΡΟΣ**

1216 Τὴν γραῦν ἐρωτᾷς ἣ ’φερεν τὰς πηκτίδας;

**ΤΟΞΟΤΗΣ**

1216 Ναί, ναίκι. Εἶδες αὐτό;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

**ΧΟΡΟΣ**

1218 Ταύτῃ γ᾽ οἴχεται αὐτή τ᾽ ἐκείνη καὶ γέρων τις εἵπετο.

**ΤΟΞΟΤΗΣ**

1220 Κροκῶτ᾽ ἔκοντο τὴ γέροντο;

**ΧΟΡΟΣ**

1220 Φήμ᾽ ἐγώ· ἔτ᾽ ἂν καταλάβοις, εἰ διώκοις ταυτηί.

**ΤΟΞΟΤΗΣ**

1220 Ὦ μιαρὸ γρᾶο. Πότερο τρέξι τὴν ὀδό; Ἀρταμουξία.

**ΧΟΡΟΣ**

1223 Ὀρθὴν ἄνω δίωκε. Ποῖ θεῖς; Οὐ πάλιν τῃδὶ διώξεις; Τοὔμπαλιν τρέχεις σύ γε.

**ΤΟΞΟΤΗΣ**

1225 Κακόδαιμον. —Ἀλλὰ τρέξι. Ἀρταμουξία.

**ΧΟΡΟΣ**

1225 Τρέχε νυν κατὰ τάχος ἐς κόρακας ἐπουρίσας. Ἀλλὰ πέπαισται μετρίως ἡμῖν· ὥσθ᾽ ὥρα δή ᾽στι βαδίζειν οἴκαδ᾽ ἑκάστη. Τὼ Θεσμοφόρω δ᾽

1230 ἡμῖν ἀγαθήν

1230 τούτων χάριν ἀνταποδοῖτον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org